ΔΙΟΝΥΣΙΑΚΩΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

Ζεὺς δὲ πατὴρ προέηκεν ἐς αὔλια θέσκελα Ῥείης
Ἶριν ἀπαγγέλλουσαν ἐγερσιμόθῳ Διονύσῳ,
ὄφρα δίκης ἀδίδακτον ὑπερφιάλων γένος Ἰνδῶν
Ἀσίδος ἐξελάσειεν ἑῷ ποινήτορι θύρσῳ,
ναύμαχον ἀμήσας ποταμήιον υἷα κεράστην,
Δηριάδην βασιλῆα, καὶ ἔθνεα πάντα διδάξῃ
ὄργια νυκτιχόρευτα καὶ οἴνοπα καρπὸν ὀπώρης.
ἡ μὲν ἐρεσσομένων πτερύγων ἀνεμώδεϊ ῥιπῇ
δυσαμένη κελάδοντα λεοντοκόμου μυχὸν ἄντρου
ἄψοφον ἴχνος ἔπηξεν, ἀφωνήτῳ δὲ σιωπῇ
σφιγξαμένη στόμα δοῦλον ὀρειάδος ἐγγὺς ἀνάσσης
ἵστατο κυρτωθεῖσα, καθελκομένου δὲ καρήνου
χείλεσιν ἱκεσίοισι πόδας προσπτύξατο Ῥείης.
καὶ τὴν μὲν Κορύβαντες ἀμειδέι νεύματι Ῥείης
θεσπεσίης ἀρέσαντο παρὰ κρητῆρι τραπέζης·
θαμβαλέη δὲ πιοῦσα νεηγενέος χύσιν οἴνου
τέρπετο βακχευθεῖσα· καρηβαρέουσα δὲ δαίμων
παιδὶ Διὸς παρεόντι Διὸς μυκήσατο βουλήν·
„ἀλκήεις Διόνυσε, τεὸς γενέτης σε κελεύει

13, 5 ναύμαχον LΩ (cf. 36, 446. 461. 39, 84); δύσμαχον k. — κεράστην gmk; κεραστὴν LΩ. — 8 ἢ gmk. — 9 δυσαμένη Lf*Ω; δησαμένη Ff; δυσσαμένη m. — 12 κατελκομένου LPFM. — 13 προπτύξατο LPFMfl. — 15 ἀρέσαντο LΩ; 'κορέσαντο?' g*; αἴροντο m. — 16 χύσιν, sed χ pc. L. — 18 παρέοντι FMlh. — μυκήσατο Lg([1] 32) Ω; μυθήσατο g*mk (cf. 10, 137); μηνύσατο g*. — 19 ἀλκήεις LΩ; ἀλκείης PMfl.

εὐσεβίης ἀδίδακτον ἀιστῶσαι γένος Ἰνδῶν·
ἀλλὰ τεαῖς παλάμῃσι μαχήμονα θύρσον ἀείρων
αἰθέρος ἄξια ῥέξον, ἐπεὶ Διὸς ἄμβροτος αὐλὴ
οὔ σε πόνων ἀπάνευθε δεδέξεται, οὐδέ σοι Ὧραι
μή πω ἀεθλεύσαντι πύλας πετάσωσιν Ὀλύμπου·
Ἑρμείας μόγις ἦλθεν ἐς οὐρανόν, ὁππότε ῥάβδῳ
ὄμμασιν ἀστράπτοντα ποδῶν ἄπο μέχρι κομάων
βουκόλον Ἄργον ἔπεφνε, καὶ Ἄρεα λύσατο δεσμῶν·
Δελφύνην δ' ἐδάμασσε καὶ αἰθέρα ναῖεν Ἀπόλλων·
οὐδὲ τεὸς γενέτης, μακάρων πρόμος, ὑψιμέδων Ζεὺς
νόσφι πόνων ἀνέβαινεν ἐς οὐρανὸν, ὄρχαμος ἄστρων,
εἰ μὴ πρῶτον ἔδησεν ἀπειλητῆρας Ὀλύμπου
Ταρταρίῳ Τιτῆνας ὑποκρύψας κενεῶνι.
καὶ σὺ μετ' Ἀπόλλωνα, μεθ' Ἑρμάωνα, μογήσας
μισθὸν ἔχεις καμάτων πατρώιον αἰθέρα ναίειν."
ὣς φαμένη πρὸς Ὄλυμπον ἔβη θεός· αἶψα δὲ Ῥείη
παμμήτωρ προέηκεν ἀγέστρατον ἀγγελιώτην
Πύρριχον, ὀρχηστῆρα φιλοσμαράγοιο βοείης,
φύλοπιν ἀγγέλλοντα κορυσσομένοιο Λυαίου.
καὶ στρατιὴν πολύμορφον ἀολλίζων Διονύσῳ
Πύρριχος ἀενάοιο διέδραμεν ἕδρανα κόσμου·
Εὐρώπης δὲ γένεθλα καὶ Ἀσίδος ἔθνεα γαίης
πάντας ἄγων νόστησεν ἐς ἁβροβίων χθόνα Λυδῶν.
ἀλλὰ πολυσπερέων προμάχων ἡρωίδα φύτλην

---

24 ἀειθλεύσαντι *F*. — πετάσωσιν *LΩ*; πετάσουσιν *g*k*. — 26 Ἄργ[ου] ὄμματα *L* im. — 27 ὁ Ἑρμῆς Ἄρεα λύσατο δεσμῶν L^2 im. — δεσμῶν *LΩ* (Spitzner^1 75); δεσμῷ (-ῶ) *PFMflh*. — 28 Δελφίνην *m*. — 34 fol. 53^r *L*, 45^r *P*. — ἔχεις *LΩ*; ἔχοις *k*. — ναίειν L^2; ναίων $L^1PΩ$. — 37 πύρριχος L^2 im. — πύρριχον *LΩ*; πυρριχον *P*; πυρρίχον *FMflh*. — ὀρχηστῆρα *Ff*. — 38 φῦλοπην *PF*. — ἀγγέλλοντα *LΩ*; ἀγγέλοντα *FM*; ἀγγελέοντα *g**. — 40 ἀενάοιο *Lf*Ω*; αἰνάοιο *PFMf*.

καὶ λασίων Σατύρων, Κενταυρίδος αἷμα γενέθλης,
Σειληνῶν τε φάλαγγα δασυκνήμοιο γεραιοῦ
καὶ στίχα Βασσαρίδων Κορυβαντίδες εἴπατε Μοῦσαι·
οὐ γὰρ ἐγὼ τόσα φῦλα δέκα γλώσσῃσιν ἀείσω
οὐδὲ δέκα στομάτεσσι χέων χαλκόθροον ἠχώ,
ὁππόσα Βάκχος ἄγειρε δορυσσόος, ἀλλὰ λιγαίνων
ἡγεμόνας καὶ Ὅμηρον ἀοσσητῆρα καλέσσω
εὐεπίης ὅλον ὅρμον, ἐπεὶ πλωτῆρες ἀλῆται
πλαγκτοσύνης καλέουσιν ἀρηγόνα κυανοχαίτην.
πρῶτα μέν, εὐθύρσοιο καλεσσαμένου Διονύσου,
Ἀκταίων ταχὺς ἦλθεν ὁμόγνιον αἷμα γεραίρων,
πατρίδος Ἀονίης ἑπτάστομον οὖδας ἐάσας·
Βοιωτῶν δὲ φάλαγγες ἐπέρρεον, οἳ χθόνα Θήβης
ᾤκεον εὐπύργοιο καὶ ἔνδιον ἐννοσιγαίου
Ὀγχηστόν, Πετεῶνα καὶ Ὠκαλέην καὶ Ἐρύθρας,
Ἄρνην βοτρυόεσσαν, ἀγαλλομένην Διονύσῳ,
οἵ τε Μίδειαν ἔναιον, ἀειδομένας τε πολίχνας
Εἰλέσιον καὶ Σκῶλον ἁλικρήπιδά τε Θίσβην,
ὅρμον ἐυτρήρωνα θαλασσαίης Ἀφροδίτης,
καὶ δάπεδον Σχοίνοιο καὶ εὐχαίτην Ἐλεῶνα

---

44 et 45 'aliunde intrusos suspicor; integri certe non sunt' g*; post Σατύρων duo hemistichia excidisse indicat k (plura k*). — 45 τὲ LPM. — δασυκνήμοι L[1] (cr. L[2]); δασικνήμοιο F. — γεραιοῦ scripsi ([2] 446) coll. 6, 52; γενέθλης LΩ (ex 44); γέροντος k ex 14, 96 sqq. — 46 Κορυβαντίδες Μοῦσαι L[2] im. — 47 οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν, φωνὴ δ' ἄρρηκτος, χάλκεον δέ μοι ἦτορ ἐνείη Hom. B 489 sq. affert f*. — 50 ὅμουρον ('finitimum') l. — 51 ἀλῆται LPF. — 52 πλακτοσύνης Ffl (cr. c). — 54 Ἀκταίων L[2] im. — 55 ἐάσας gmk; ἑάσσας LΩ; ἑάσσας F. — 56 Βοιωτοί L[2] im. — 57 ὤκεον PFMf. — 58 Ὀγχηστόν Tiedke[7] 416 (cf. Hom. B 506 cum adn. mea); Ὄγχηστον mk; ἄρνην καὶ LΩ (ex 59). — Ἐρύθρας k (v. ad B 499); ἐρυθρὰς LΩ. — 59 ἀγαλλομένην L[2]Ω; ἀγαλλομένων L[1]. — 60 Μίδειαν f*Ω (v. B 507); μίδαιαν LPFMf. — τὲ π. LPM. — 63 χοίνοιο f (cr. f*). — εὐχαίτην LΩ; 'suspectum;

Κώπας τ', ἀγλαὸν οὖδας, ὅπῃ περίπυστον ἀκούω
ἐγχελύων θρέπτειραν ἐπώνυμον εἰσέτι λίμνην,
καὶ λάσιον Μεδεῶνα, καὶ οἳ λάχον εὔβοτον Ὕλην,
σκυτοτόμου Τυχίοιο τανυκνήμιδα τιθήνην,
καὶ πέδον εὐρυάλω, χθονίῃ πεφυλαγμένον ὀμφῇ,
ἅρματος ὀψιγόνοιο φερώνυμον Ἀμφιαράου,
Θεσπιέων τε πόληα βαθυκνήμους τε Πλαταιὰς
ὑδρηλήν θ' Ἁλίαρτον, ὀρεσσιχύτου ποταμοῖο
χεύμασι μεσσατίοισι μεριζομένην Ἑλικῶνος,
οἵ τ' εἶχον πυμάτην Ἀνθηδόνα, γείτονα πόντου,
βαιὴν ἰχθυβολῆος ἀειζώοιο πολίχνην
ὑγροβίου Γλαύκοιο, καὶ οἳ δυσπέμφελον Ἄσκρην,
πατρίδα δαφνήεσσαν ἀσιγήτοιο νομῆος,
Γραίης θ' ἱερὸν ἄστυ καὶ εὐρυχόρου Μυκαλησσοῦ,
Εὐρυάλης μίμημα φερώνυμον ἀνθερεῶνος,

cf. 84' *k**. — ἐλεῶνα *L* pc., *Ω* (v. *B* 500. Meineke[3] 266); ἐλαιῶνα
L ac.; ελεῶνα (altera ε pc.) *P*; ἐλεῶνα *FMf*. — 66 λάσιων *F*. —
Μεδεῶνα *gmk* (v. *B* 501); μελεῶνα *LΩ*. — 67 τανυκνήμιδα
LΩ (Lobeck[6] 462, Kreutz[1] 29, Lch[1] 39); τανυκρήπιδα *k*. —
68 εὐρυάλω scripsi (nisus et accusativis ἅλωα ἅλω ἅλων apud
alios obviis et genitivo Nonniano εὐρυάλωος, de quo v. Wer-
nicke 426 sq., sed fort. praestat εὐρυάλων); εὐγυάλω *LPM*,
pc. *F*; εὐγυάλον *F* ac.; εὐγυάλῳ *fg*; εὐρυάλῳ *f**; Εὐ- *l*; Εὐ-
ρυάλου *h*; εὐρύαλον Cun., *mk* (v. autem Tiedke[3] 269). — χθο-
νίῃ, sed χ pc. *L*; χρονίῃ Cun. — 69 σημείωσαι *L*[2] im. —
ἅρματος] v. Unger 451. — ἀμφιαρήου ac. (vel pc.) *LP*. — 70 Θ.
τε *gmk* (v. Lehrs[1] 295); θ. τὲ *L* pc. (ac. ?); θ. δὲ *L* ac. (pc. ?), *PF*
Mflh. — πόλϊα *F*. — βαθυκνήμους *LΩ* (Lobeck[6] 462, Lch[1] 39);
βαθυκρήμνους *k*: cf. 4,336. — τὲ *LFMf*. — Πλαταιὰς *gmk*; πλα-
τειὰς *L* pc., *PFMflh*; πλατειοὺς *L* ac. — 71 θ' Ἁλίαρτον *gmk*
(v. *B* 503): τ' ἁλίαρτον *LΩ*; τ' Ἁλ- *lh*. — 72 μεσσατίησι *L* ac. —
73 οἵ τ' εἶχον Hom. *B* 683. — Αὐθηδόνα *flh* (cr. *c*). — γειτόνα
L. — 74 ἁλιζώοιο Wakefield[1] III 190. — 75 Ἄσκρην Rhodom.,
gmk; ἄκρην *LVΩ*; αὔρην *V* im. — 76 πάτρην αὐδήεσσαν *m*. —
77 γραίης *L* pc., (Cun.) *hgmk* (v. *B* 498); γαίης *PΩ*; 'alius for-
tasse malit Ζαιῆς' *g** (v. Meineke[3] 293). — μυκαλησσοῦ *Lf*Ω*
(v. Meineke[3] 459); μυκαλλησσοῦ *F*; μυκακλησσοῦ *f*. — 78 εὐ-
ρυάλης *Lgmk* (v. 30, 266); εὐρύαλε *PFMf*; εὐρύαλον *V* ac.; εὐ-

καὶ χθόνα Νισαίην καὶ ἐπώνυμον ἄστυ Κορώνου·
τοῖσι μὲν ἐρχομένοισιν Ἑώιον εἰς κλίμα γαίης
Ἀκταίων πρόμος ἦεν, ἐπ' ἠιθέοιο δὲ νίκῃ
πατροπάτωρ δαφναῖος ἐπέπταρε μάντις Ἀπόλλων.
Βοιωτῶν δ' ἑτέροιο προηγεμόνευεν ὁμίλου
εὐχαίτης Ὑμέναιος ἔχων ἀχάρακτον ὑπήνην,
ἀρτιθαλής, Βρομίῳ πεφιλημένος· ἐρχομένῳ δὲ
κούρῳ παιδοκόμος πολιὸς πρόμος οὔνομα Φοῖνιξ,
εἵπετο, Λαοκόωντι πανείκελος, ὃς πάρος Ἀργοῦς,
νηὸς Ἰησονίης, ἐπιβήμενος εἰς χθόνα Κόλχων
σύμπλοος ὡμάρτησε κορυσσομένῳ Μελεάγρῳ.
τοῖος ἐὼν ἔτι κοῦρος, ἔχων παιδήιον ἥβην,
ἁβροκόμης Ὑμέναιος ἐδύσατο φύλοπιν Ἰνδῶν,
δινεύων ἑκάτερθε παρηίδος ἥλικα χαίτην·
καί οἱ ἐφωμάρτησαν ὁμήλυδες ἀσπιδιῶται,
οἵ τ' Ἀσπληδόνος ἄστυ, καὶ ὃν Χάρις οὔ ποτε λείπει
Ὀρχομενὸν Μινύαο, χοροίτυπον ἄλσος Ἐρώτων,
οἵ θ' Ὑρίην ἐνέμοντο, θεηδόχον οὖδας ἀρούρης,
ξεινοδόκου μεθέπουσαν ἐπωνυμίην Ὑριῆος,
ἧχι Γίγας ἀπέλεθρος ἀπειρογάμων ἀπὸ λέκτρων

ρυάλου *V* pc., *f*lh*, Cun. — 79 νισαίην *LΩ* (v. *B* 508); Νυσαίην Voss^4 13. — 80 ἑώνιον *Ff* (cr. *f**). — 81 νίκη *PFMf*. — 82 μάντις ir. *L*. — 84 ὑμέναιος L^2 im. — 86 φοῖνιξ L^2 im. — Φοίνιξ *gm*. — 87 Λαοκόωντι] v. Apollon. Rhod. I 191 (Koehler 35). — 91 ἁβροκώμης *F*; ἁβροκόμης *fl*. — 92 ἥλικα χαίτην Callimach. h. Del. 297. — χαίτ]ην pc. *L*. — 93 καὶ *FMf*. — ἐφομάρτησαν *P*. — 94 οἱ τ' *FMflh*. — πωτε *F*. — λείπει *L* (Rhodom.) *gmk*; λείπῃ *PFM*; -η *flh*. — 95 ὀρχομενὸν *LΩ* (Rhodom.); ὀρχομένων *fl*; ὀρχομένου *f**: v. *B* 511. Rigler^7 26 sq. — 96 οἵ θ' Ὑρίην ἐνέμοντο Hom. *B* 496. — οἳ θ' *FMf*; οἱ θ' *h*. — θεηδόχον *LΩ* (Nauck^2 479); θεηδόκον Cun., Lobeck^2 653, *k*. — οὖδας *LΩ*; οὖθαρ (ex Hom. *I* 141) Cun., *k*. — 97 ξεινοδόκου *LΩ* (Scaliger); -δόκον *Ffl*. — ὑριῆος, sed ὑ pc. *L*, *PM* im., (Scaliger, Meursius teste anon. Villois.) *hgmk*; ἐριῆος *PM* it., *Ffl*: v. ad 99. — 98 ἧχι *lhgmk*; item 106. — ἄπο *L*. — λέκτωρ *F* ac.

Ὠρίων τριπάτωρ ἀπὸ μητέρος ἄνθορε Γαίης,
εὖτε θεῶν τριγόνοισιν ἀεξηθεῖσα γενέθλαις
εἰς τόκον αὐτοτέλεστον ἐμορφώθη χύσις οὔρων,
αὔλακα νυμφεύσασα τελεσσιγόνοιο βοείης,
καὶ χθονὸς ἄσπορον υἷα λαγὼν μαιώσατο Γαίης,
οἵ τ' ἔχον ἀγρομένων ξεινηδόκον οὖδας Ἀχαιῶν,
Αὐλίδα πετρήεσσαν, ἐδέθλιον ἰοχεαίρης,
ἧχι θεὰ βαρύμηνις ὀρεσσαύλῳ παρὰ βωμῷ
δέκτο θυηπολίην ψευδήμονος Ἰφιγενείης,
καὶ κεμὰς οὐρεσίφοιτος ἀμεμφέι καίετο πυρσῷ
ἁρπαμένης νόθον εἶδος ἀληθέος Ἰφιγενείης,
ἣν Ὀδυσεὺς ἐκόμισσε δολοπλόκος ὡς Ἀχιλῆος
ἐσσομένην πρὸ μόθοιο παρευνέτιν, ἔνθεν ἀκούει
Αὐλὶς ἀνυμφεύτοιο γαμοστόλος Ἰφιγενείης,
ὁλκάσι δ' Ἀργείων ἐπεσύρισε πομπὸς ἀήτης
ἄψοφα μαστίζων ἐχενηίδος ἄκρα γαλήνης,
νεβροφόνῳ βασιλῆι φέρων παλινάγρετον αὔρην,
κούρη δ' ὀψὲ μολοῦσα μετάρσιος εἰς χθόνα Ταύρων
φρικτὰ κακοξείνων ἐδιδάσκετο θεσμὰ λεβήτων,
ἀνέρα δαιτρεύουσα, καὶ ἀνδροφόνῳ παρὰ βωμῷ
γνωτὸν ἀλιπτοίητον ἀνεζώγρησεν Ὀρέστην.
Βοιωτῶν τόσος ἦλθεν ἀμετρήτων στόλος ἀνδρῶν
Ἰνδῴην ἐπὶ δῆριν ὁμαρτήσας Ὑμεναίῳ.

---

99 ὠρίων ἐν ὑρίη γῆς ἀνέθορε sic L^2 im. — ὠρίων *LPf*: cf. Meineke[2] 133. — τριπάτωρ] v. Lobeck[4] 213. — 100 fol. 58ᵛ *L*, 45ᵛ *P*. — γενέθλαις Rhodom., *gmk*; γενέθλης *LΩ*; γενέθλοις *f**; γενέθλης *f*h*, Koch[1] 191; ῥεέθροις *k*. — 102 βοείης *LΩ*; κονίης Koch[1] 173 coll. 22, 262. — 103 γαίης *LΩ* (defend. Rigler[6] 14); βύρσης *mk*. — 104 οἵ τ' ἔχον *Lf*Ω*; οἵ τεχον sic *F*; οἵ τέκον *f*. — ἀχαίων *Fflh*. — 107 μῦθος ἰφιγεν[είας] L^3 im. — 108 κεμᾶς *F*. — ἀμεμφέι *LΩ*; 'paullulum suspectum' *k**. — 113 ὀλκάσι *FM*. — ἀπεσύρισε *l* (cr. *c*). — 116 ὀψὲ *LΩ*; ὑψὶ *h*; αἶψα *k*. — εἰς *k**; ἐς *LΩ*. — 117 φρικτὰ *L* pc., *PΩ*; φευκτὰ *L* ac. — λεβήτων *lh*. — 119 ἀλιπτοίητον *FMf* (cr. *f**). — 121 ἰνδώην *FMflh*.

τοῖσι συνεστρατόωντο σοφῇ παρὰ Δελφίδι πέτρῃ
ἀγχίποροι Φωκῆες ὁμήλυδες, οἳ Κυπαρίσσου
εἶχον ἕδος καὶ γαῖαν Ὑάμπολιν, ἥν περ ἀκούω
Ἀονίης ὑὸς οὖδας ἐπώνυμον, ᾗ περὶ μορφῆς
αὐχένα γαῦρον ἄειρε καὶ ἤρισε Τριτογενείῃ·
οἵ τ' ἔλαχον Πυθῶνα καὶ ἀμφίκρημνον ἀλωήν,
Κρῖσαν ἀειδομένην καὶ Δαυλίδα καὶ Πανοπῆα,
γείτονα Βάκχου ἔχοντες, ἐπεὶ δαφναῖος Ἀπόλλων
κλῆρον ἑὸν ξύνωσε κασιγνήτῳ Διονύσῳ,
Παρνησσὸν δικάρηνον· ἀγειρομένοισι δὲ λαοῖς
Πυθιὰς ὀμφήεσσα θεηγόρος ἔκλαγε πέτρη
καὶ τρίπος αὐτοβόητος, ἀσιγήτοιο δὲ πηγῆς
Κασταλίης λάλον οἶδμα σοφῷ πάφλαζε ῥεέθρῳ.
Εὐβοέων δὲ φάλαγγας ἐκόσμεον ἀσπιδιῶται
παιδοκόμοι Κορύβαντες ἀεξομένου Διονύσου,
οἳ Φρύγα κόλπον ἔχοντες ὀρεσσιπόλῳ παρὰ Ῥείῃ
νήπιον εἰσέτι Βάκχον ἐκυκλώσαντο βοείαις,
τόν ποτε πορφυρέῳ κεκαλυμμένον οἴνοπι πέπλῳ
εὗρον ἐνὶ σκοπέλοις, κερόεν βρέφος, ἔνθά μιν Ἰνὼ
Μύστιδι παιδοκόμῳ παρεκάτθετο μητρὶ Κορύμβου·

---

123 φωκεῖς L² im. — 124 ἕδος PFMf. — ἕδος γαίης, καὶ Ὑ. gm. — γαῖαν L (Rhodom.); γαίαν anon. Villois., h; γαίης PFMfl; γῆς f*; δῖαν k. — 125 σημείωσαι ὗς πρὸς ἀθήνην L² im. — υἱὸς Ff (cr. f*). — ῆ Lfg*k; ή PFMf; ῃ ('ubi') l; ῆ m. — 126 ἤρισε, sed ή ir. L, Pf*Ω; εἴρησε Ff. — τριτογενείη f (cr. f*). — 127 οἵ τ' ἔλαχον Scheindler (⁴ 39) coll. 434; οἵ τε λάχον LΩ. — ἀμφίκριμνον Ff (cr. f*). — ἀλωήν LP. — 128 Κρῖσάν τε ζαθέην καὶ Δαυλίδα καὶ Πανοπῆα Hom. B 520. — κρῖσαν, sed cum ras. post ι L, PΩ; Κρίσσαν gm. — πανοπῆα Lf*Ω; πανονῆα PFMf. — 130 ξύνωσε Lf*Ω; ξήνωσε PFMf. — 131 λαοῖς Cun., gmk; δελφοῖς LΩ. — 133 τρίπος LΩ (Rhodom.); τρύπος Ffl. — 135 εὐβοεῖς L² im. — 136 παιδοκόμοι] v. Lobeck ³ 1134. — 137 κορύβαντες L² im. — κόλπον ἔχοντες LΩ; κῶμον ἔχοντες g*; 'debebat certe κῶμον ἄγοντες; sed recte vulgata: cf. 544. 14, 270' k*. — 140 ἔνθά LPM; ἔνθα FΩ. — 141 παρεκάτθετο Lf*Ω;

οἳ τότε πάντες ἵκανον ἀειδομένης ἀπὸ νήσου,
Πρυμνεὺς εἰλιπόδης τε Μίμας καὶ ὀρίδρομος Ἄκμων
Δαμνεύς τ' Ὠκύθοός τε σακεσπάλος, οἷς ἅμα βαίνων
σύνδρομος Ἰδαίῳ κορυθαιόλος ἦλθε Μελισσεύς,
οὕς ποτε δυσσεβίης κεκορυθμένος ἄφρονι κέντρῳ
Σῶκος ἀλιζώνοιο πατὴρ νοσφίσσατο πάτρης
Κόμβης ἑπτατόκου μετὰ μητέρος· οἱ δὲ φυγόντες
Κνώσσιον οὖδας ἵκοντο, καὶ ἔμπαλιν ἦσαν ἀλῆται
εἰς Φρυγίην Κρήτηθεν, ἀπὸ Φρυγίης ἐς Ἀθήνας,
ἀλλοδαποὶ ναετῆρες ὁμέστιοι, εἰσόκε Κέκροψ
Σῶκον ἀπηλοίησε Δίκης ποινήτορι χαλκῷ,
καὶ χθόνα καλλείψαντες ἀλικλύστου Μαραθῶνος
νόστιμον ἴχνος ἔκαμψαν ἐς ἱερὸν οὖδας Ἀβάντων,
Κουρήτων προτέρων χθόνιον γένος, οἷς μέλος αὐλῶν,
οἷς βίος εὐκελάδων ξιφέων κτύπος, οἷς τινι ῥυθμῷ
κύκλα ποδῶν μεμέλητο καὶ ἀσπιδόεσσα χορείη.
τοῖσι συνεστρατόωντο μαχήμονες υἷες Ἀβάντων,
οἳ λάχον ὀφρυόεσσαν Ἐρέτριαν, οἳ λάχον ἄμφω,
καὶ Στύρα καὶ Κήρινθον, ἀειδομένης τε Καρύστου
ἕδρανα καὶ Δίου κραναὸν πέδον, οἵ τ' ἔχον ἀκτήν,
ἀκτὴν κυματόεσσαν ἀσιγήτοιο Γεραιστοῦ,

παρεκάθετο (εμα superscr.) *Fflh*; παρεκάτθετο *P*; παρὲκαμάτθετο sic *M*. — κορύμβου *m* (ex 9, 120) *k*; κορύνθου *LPFMf*; κορίνθου *f*lhg*. — 143 εἱλιπόδης *FMfh*. — 144 ὠκύθοός *P* (v. Lobeck[4] 462. Tiedke[6] 48); ὠκυθοός *L*; ὠκύθόος *FM*; Ὠκυθόος (*f*)*gmk*. — ὠκυθόος τε Σακεσπάλος *lh*. — 145 κορυθαίολος *k*. — 147 ἱστορ[ία·] σῶκος *L*[2] im. — ἀλιζώνοιο *Ff*. — νοσφίσσατο *gmk*; νοσφίσατο *LΩ*. — 148 οἱ δὲ *L*; οἳ δὲ *Fflhgmk*. — 149 Κνώσιον *h*. — ἀλῆται *LPM*. — 150 εἰς *k*; ἐς *LΩ*. — φριγίην *F*. — ἀπο *F*. — 151 νακετῆρες *M*. — ἀμέστιοι *LPM*. — 153 ἀλικλύστου *Ff*. — 156 τινὶ *gm*. — 161 ἀκτήν Koehler 35, *k*; ἄκρην *LhΩ* ('supremam' *l*); Ἄκρην *gm*. — 162 ἀκτὴν Koehler, *k*; ἄκρην *Lf*Ω*; ἄκρυν *Ff*; Ἄκρυν *lh* ('Acrym' *l*).

καὶ Στύγα καὶ Κοτυλαῖον ἕδος καὶ Σιρίδος ἕδρην
Μαρμαρίου τε τένοντα καὶ Ὠγυγίης πέδον Αἰγῆς·
τοῖς ἅμα λαὸς ἵκανεν ὁμόστολος, οἷς πέλε πάτρη
Χαλκίς, ὀπισθοκόμων μητρόπτολις Ἐλλοπιήων.
ἑπτὰ μὲν ἡγεμόνες στρατὸν ὥπλισαν, ἀλλ' ἕνα πάντες
θυμὸν ἔχον κατ' Ἄρηα· καὶ ἀστέρας αἴθοπι βωμῷ
Ζῳδιακῆς ναετῆρας ἐμειλίξαντο κελεύθου,
δῆριν ἰσηρίθμοισιν ἐπιτρέψαντες ἀλήταις.
Κεκροπίδας δ' ἐκόρυσσε μόθων ἀκόρητος Ἐρεχθεύς —
χρύσεον ἀγλαόπαιδος Ἐρεχθέος αἷμα κομίζων,
τόν ποτε πυρσοφόροιο κατὰ πτύχα παρθενεῶνος
παρθένος αὐτολόχευτος ἀνέτρεφεν ἄρσενι μαζῷ
παιδοκόμος γλαυκῶπις ἀνήροτος, αἰδομένη δὲ
παρθενίῳ πήχυνεν ἀήθεϊ κοῦρον ἀγοστῷ
Ἡφαιστηιάδην, ὅτε δύσγαμος ἀμφιγυήεις
ἀλλοίῃ φιλότητι γονὴν ἔσπειρεν ἀρούρῃ,
θερμὸν ἀκοντίζων αὐτόσσυτον ἀφρὸν Ἐρώτων·
τοῖος Ἀθηναίων στρατιῆς πρόμος ἦλθεν Ἐρεχθεύς,
Σίφνον ἔχων συνάεθλον, ὁμόπτολιν ἡγεμονῆα —,

163 στύγα *L* pc., *PΩ*; στύρα *L* ac.; Τύχα *m*: cf. A. Baumeister Topographische Skizze der Insel Euboia (Lübeck 1864) p. 39. — κοτυλαῖον *LΩ* (adiectivum videtur esse); Κοτύλαιον *gmk*. — ἔδος *FMflh*. — σιρίδος *LΩ*; Κιρέος *m*; 'Σίριδος?' *k**. — 164 Ὠγυγίων π. Αἰγῶν Koehler 35. — παίδων *F*. — Αἰγῆς *k*; Αἴγης *m*; αἴθης (Αἴ-) *LΩ*. — 166 fol. 54[r] *L*, 46[r] *P*. — μητρόπτολις *Lgmk*; μητρόπολις *PΩ*. — ἐλλοπιήων *Ff*, pc. *P*. — 169 ζῳδιακῆς *LP*; ζωσιακῆς *Ff*; ζωπιακῆς *M*; ζωδιακῆς *f*Ω*. — 170 δῆριν *f*Ω*; δηρὸν *LPFMf*. — ἐπιτρέψαντες ἰσηρίθμοισιν ἀλήταις? cf. 5, 68. — ἐπιτρέψαντες *f*Ω*; ἐπιστρέψαντες *LPFMflh*. — ἀλήταις *L*[2] (Scaliger) *gmk*; ἀήταις *L*[1]*f*lh*; ἀχήταις *PFMf*. — 171 ἐρεχθεὺς *L*[3] im. — post 171 ita collocari vult versus 181—200. 180. 172—179 *m**: v. ad 179. — 172 αἷμα *LΩ*; ἅρμα vel εἷμα *g**. — 174 αὐτολόχευτος *LΩ* (v. Rigler[5] 11); αὐτολόχευτον *g*k*. — 177 ἀμφυγυήεις *L* ac. — 178 ἀρούρῃ *k* coll. 5, 612; ἀρούρης *LΩ*. — 179 θεσμὸν *m*. — post h. vs. posuit 195—200. 182—194. 180. 181 *m*. — 181 σίφνος *L*[3] im.

οἳ λάχον Οἰνώης γόνιμον πέδον, οἵ τε καρήνων
γείτονος Ὑμήττοιο μελισσήεντας ἐναύλους
καὶ τέμενος βαθύδενδρον ἐλαιοκόμου Μαραθῶνος,
οἵ τε πόλιν Κελεοῖο, καὶ οἳ λάχον ὅρμον Ἀθήνης,
ἀγχίαλον Βραυρῶνα, κενήριον Ἰφιγενείης,
καὶ δάπεδον Θορίκοιο καὶ εὐώδινος Ἀφίδνης,
οἵ τ' ἔχον ἀγλαόπαιδος Ἐλευσινίην χθόνα Δηοῦς,
μυστιπόλοι ταλάροιο καὶ εὐκάρποιο θεαίνης,
Τριπτολέμου γεγαῶτες ἀφ' αἵματος, ὅς ποτε Δηοῦς
δίφρον ἐχιδνήεντα δι' ἠέρος ἡνιοχεύων
στικτὰ φερεσταχύων ἐπεμάστιε νῶτα δρακόντων·
καὶ πολὺς ἔνθα καὶ ἔνθα σιδήρεα τεύχεα πάλλων
παισὶ κορυσσομένοισι γέρων ὤρεξεν Ἀχαρνεύς·
καὶ στίχες Ἀτθίδος ἦλθον ἐπήλυδες, ἐγρεμόθων δὲ
σὺν δορί, σὺν ξιφέεσσιν ἐπειγομένων ναετήρων
εἰς μόθον εὐπήληκες ἐβακχεύθησαν Ἀθῆναι,
ἐσσυμένων δ' ἐς Ἄρηα λιμὴν ἤχησε Φαληρεύς·
καὶ πολὺς ἀγγέλλων προτέρην αὐτόχθονα φύτλην
χρύσεος εὐπλέκτοισι κόμαις ἐσφίγγετο τέττιξ.
πατρίδα γαῖαν ἔλειπε καὶ Αἰακός, ὃν νόθος ὄρνις

---

182 'fort. ante h. vs. excidit vs. eiusmodi: *τοῖσιν ἐφωμάρτησαν ὁμήλυδες ἀσπιδιῶται*, qualis fere vs. 93' *g**. — *Οἰνώης g*mk* (Koehler 36); *οἰνώνης LΩ*; *Οἰνοίης g**. — 183 *γείτονος gmk*; *γείτονας LΩ*. — *ὑμήττοιο LΩ*; *Ὑμηττοῖο gmk*. — 185 *κελεοῖο LΩ*; *Κυθέροιο m*. — 186 *σημείωσαι L*[2] im. — *ἀγχίαλον Βραυρῶνα κενήριον Ἰφιγενείης* Euphorio fr. 81 (Meineke[1] 117. Lehrs[1] 286). — *Βραύρωνα Ω*. — 187 *θορίκοιο LΩ*; *Θορικοῖο gm*. — 189 *Ταλάροιο lh*; 'lego *ταλαοῖο*, teste Eustathio et Apollodoro' anon. Villois. — 194 *ἀχαρνεύς Lf*Ω*; *ἀρχανεύς Ff*. — 195 *ἀτθίδος LΩ*; *Ἀτθίδες g*k*. — *ἐπήλυδες f*Ω*; *ἐπήλυθες L*; *ἐπήλυθιν PFMfl*; *ἐπήλυδος f**; *ἐπήλυδιν h**. — 197 *ἀθῆναι Fflh*. — 198 *φαλιρεύς Ff* (cr. *f**). — 200 *σημείωσαι τέττιξ L*[2] im. (v. Naeke[1] 240). — *εὐπλέκτοισι* scripsi (cf. Lobeck[4] 460); *ἀπλέκτοισι LP* (v. autem Cun. p. 111 sq.); *ἀπλέκτησι FM*; *-τῃσι flh*; *εὐπλέκτῃσι* Wakefield[1] III 139, *gmk*. — 201 *αἰακός*

ἁρπαμένῃ σπέρμηνε μιγεὶς Ἀσωπίδι νύμφῃ,
αἰετὸς Αἰγίνης πτερόεις πόσις ὑψιπέτης Ζεύς·
ἐκ δὲ γάμου πεφάτιστο καὶ Αἰακός· ἔξοχα δ' ἄλλων
χραισμῆσαι μενέαινε κασιγνήτῳ Διονύσῳ·
Μυρμιδόνων δὲ φάλαγγας ἐκόσμεεν ἴδμονι τέχνῃ,
οἳ πρὶν ἔσαν μύρμηκες ἐφερπύζοντες ἀρούρῃ,
ποσσὶ πολυσπερέεσσι μεμηλότες, εἰσόκεν αὐτῶν
ἐκ χροὸς οὐτιδανοῖο χαμαιγενὲς εἶδος ἀμείψας
φέρτερον εἰς δέμας ἄλλο μετέπλασεν ὑψιμέδων Ζεύς,
καὶ στρατὸς ἐβλάστησεν ἐνόπλιος· ἐξαπίνης γὰρ
ἀλλοφυής, ἄφθογγος, ἀπόσπορος ἑσμὸς ἀρούρης
εἰς βροτὸν αὐδήεντα δέμας μορφώσατο μύρμηξ·
τῶν πρόμος Αἰακὸς ἦρχεν, ἐν εὐτύκτῳ δὲ βοείῃ
Ζῆνα νόθον σοφὸν ὄρνιν ἐπέγραφε, σῆμα γενέθλης,
φειδομένοις ὀνύχεσσιν ἐλαφρίζοντα γυναῖκα,
καὶ ποταμὸς πυρίκαυτος ἔην σχεδόν, ἄγχι δὲ κούρη
οἰκτρὰ κατηφιόωσα, καὶ εἰ πέλεν ἄπνοος εἰκών,
δόχμιον ὄμμα τίταινεν, ἅτε στενάχουσα τοκῆα
Ἀσωπὸν βαρύγουνον, ἔοικε δὲ τοῦτο βοῆσαι·
'καλὸν ἐμοὶ πόρες ἕδνον ἐμὸν γενετῆρα δαμάσσας.'
Κρήτης δ' ἡγεμόνευε πολυγλώσσων ναετήρων
Ἀστέριος φαιδρωπὸν ἔχων δέμας, ἀμφότερον δὲ

L² im. — πατρίδα gmk; ἀτθίδα LΩ. — 202 ἁρπαμένη Pflh. — σπέρμηνε LPh. — 203 πτερόης Ff (cr. f*). — 207 ἀρούρῃ k; ἀρούρης LΩ; ἀρούρῃς Koch¹ 191. — 208 ποσὶ F. — πολυσπέρεσσι h (cr. h*). — μεμυλότες Ff (cr. f*): cf. Koechly³ 245. — 209 χροὸς] v. Lehrs¹ 193. — 210 μετέπλασιν, sed λα pc. L. — 214 ἦρχεν LΩ; ἦσχεν PM; 'ne ἦεν coniicias, cf. 520' k*. — 217 πυρίκαυτος L pc., f*Ω; πυρίκλαυτος L ac., PFMf. — 218 καὶ εἰ πέλεν L (Cun.) Ω; δεἰπέλεν P; δ' εἰ πέλεν M; δειπέλεν Ff; δέει πέλεν f*l. — 220 βαρύγουνον LΩ (ut 23, 232. 27, 275. 47, 582); 'βαρύνουσον?' k*. — 221 καλλὸν F. — ἐμοὶ LΩ (ἔμοι M); ἐμὸν Fflh. — ἕδνον FMflh. — 222 κρήτης LΩ; κρήτη FM; -τῃ flh. — 223 ἀστέριος L² im. — ἀμφότερον LΩ

ὅσσον ἔην ἐρόεις, τόσον ἄλκιμος, ὅν ποτε νύμφη
λυσαμένη Μίνωι σαόφρονος ἅμμα κορείης
Φαιστιὰς Ἀνδρογένεια Κυδωναίῃ τέκεν εὐνῇ·
ὃς τότε λαὸν ἄγων ἑκατόμπολιν οἴνοπι Βάκχῳ
ἵκετο κυδαίνων ἐμφύλιον αἷμα γενέθλης
πατρὸς ἑοῦ· Σεμέλης γὰρ ἀνεψιὸς ἔπλετο Μίνως,
Κάδμου ξυνὰ γένεθλα· πολυσπερέες δὲ μαχηταὶ
πάντες ἐνὶ σπεύδοντι συνέρρεον ἡγεμονῆι,
οἱ μὲν ἀπὸ Κνωσσοῖο μαχήμονες, οἱ δ' ἀπὸ Λύκτου
Μιλήτου στρατιῇσι συνήλυδες· οἷς ἅμα πολλοὶ
ὑψιλόφου Γόρτυνος ἐθωρήσσοντο πολῖται
καὶ ναέται Ῥυτίοιο καὶ εὐκάρποιο Λυκάστου . . .
καὶ χθόνα Νωδαίοιο Διὸς καὶ ἐδέθλια Βοίβης
καὶ δάπεδον Κισάμοιο, καὶ ἄστεα καλὰ Κυταίου.
τοῖος ἀπὸ Κρήτης πρόμος ἤλυθεν· ἐρχομένῳ δὲ
θερμοτέραις ἀκτῖσι χέων μαντήιον αἴγλην
Ἀστερίῳ σελάγιζεν ὁμώνυμος Ἄρεος ἀστήρ,
νίκης ἐσσομένης πρωτάγγελος· ἀλλ' ἐνὶ χάρμῃ

(Rhodom., Spitzner[1] 53); ἀμφότερα *PFMflh*. — 225 σαόφρονος *L* pc., (Scaliger) *gmk*; δαόφρονος *L* ac., *PFMf*; δαΐφρονος *f* lh*. — 226 φαιστειᾶς *F*; φαιστειὰς *f* (cr. *f**). — 230 ζυνὰ *f*. — 231 ἐνὶ *FMfl* (cr. *f**). — 232 fol. 54ʳ *L*, 46ᵛ *P*. — οἳ *lhgmk*. — μαχήμονες *LΩ* (μαχῆ- *F*); μαχήμονος *g*k*. — οἳ δ' *LPFMf*; οἱ δ' *lΩ*. — 233 Μιλήτου *f*gmk*; μιλητους *LP*; μίλητους *M*; μιλητοῦς *Ffl*; μιλητοῦ *h*. — στρατιῇσι *gmk*; στρατίῃσι (-ησι) *LΩ*. — 234 γόρτυνος *Lf*cΩ*; γόρτινος *Ff*; Γόρτηνος *l*. — 235 ναέται Lehrs[2] 122. 149 (Hilberg 173 coll. 19, 72. 81. 187. 23, 92. 24, 97); ναστοὶ *LΩ*; νάσται *gmk*. — ῥυτίοιο *Lf*Ω* (v. Hom. *B* 648); ῥύτροιο *Mf*. — post h. vs. aliquid excidisse patet ex accusativis. — 236 'vereor, ne binorum versuum initia, veluti οἳ τ' ἔχον . . . et καὶ χθόνα Δικταίοιο Δ., confusa sint' *g**; οἳ τ' ἔχον Ἰδαίοιο * * * καὶ χθόνα Δικταίοιο *k*. — χθόνα νωδαίοιο *LΩ*; χθονὸς Ἰδαίοιο *f*hm*; χθονὸς ὠδαίοιο Scaliger. — Βοίβης Koehler 36, *k*; θήβης *LΩ*; θῦβης *F*; Τάρβης Cun.; Τάρρης Meursius 60; Βήνης Unger 362; Θέννων *m*; Θέννης *m**.

νικήσας νόθον οἶστρον ἀήθεος ἔσχεν ἀρούρης
νηλής· οὐ γὰρ ἔμελλεν ἰδεῖν μετὰ φύλοπιν Ἰνδῶν
πάτριον Ἰδαίης κορυθαιόλον ἄντρον ἐρίπνης,
ἀλλὰ βίον προβέβουλε λιπόπτολιν, ἀντὶ δὲ Δίκτης
Κνώσσιος ἐν Σκυθίῃ μετανάστιος ἔσκε πολίτης,
καὶ πολιὸν Μίνωα καὶ Ἀνδρογένειαν ἐάσας
ξεινοφόνων σοφὸς ἦλθεν ἐς ἔθνεα βάρβαρα Κόλχων,
Ἀστερίους δ' ἐκάλεσσε καὶ ὤπασεν οὔνομα Κόλχοις
Κρητικόν, οἷς ξένα θεσμὰ φύσις πόρε, παιδοκόμου δὲ
πάτριον Ἀμνισοῖο ῥόον Κρηταῖον ἐάσας
αἰδομένοις στομάτεσσι νόθον πίε Φάσιδος ὕδωρ.
μοῦνος Ἀρισταῖος βραδὺς ἤιε λοίσθιος ἄλλων,
ὅσσοι γαῖαν ἔναιον ὁμούριον Ἑλλάδι γαίῃ,
ὃς μέλιτος γλυκεροῖο πολυτρήτων ἀπὸ σίμβλων
αὐχένα γαῦρον ἄειρε, καὶ οἰνοχύτῳ Διονύσῳ
ἤρισεν ἀπρήκτῳ μελιηδέος ἐλπίδι νίκης·
ἀμφοτέροις δ' ἐδίκαζον, ὅσοι ναετῆρες Ὀλύμπου·
ἀλλὰ πάις Φοίβοιο νεόρρυτα χεύματα σίμβλων
ἀθανάτοις ὀρέγων μελιηδέος ἤμβροτε νίκης,
ὅττι θεοὶ παχὺ χεῦμα φιλοπτόρθοιο μελίσσης

242 'ne quis *νέον* vel *ξένον* coniiciat, desiderium alius terrae quam paternae non germanum et naturale, sed spurium et absonum videtur' *k** (cf. Rigler[1] 3). — *ἄστρον* Canter. — 244 *κορυθαίολον Mhmk*: cf. 12, 251. 46, 14. — 247 *ἐάσας gmk*; *ἐάσσας LΩ*. — 248 *ξεινοφόνων Lf*Ω*; *ξεινοφόνον Ff*; *ξεινοφόνω M*. — 249 *Ἀστερίους*] v. Meineke[3] 139. — *δ' gmk*; *τ' LΩ*. — *Κόλχοις gmk*; *κόλχων LΩ*; *Κόλχῳ g**. — 250 *σημείωσαι L*[3] im. — 251 *πάτροιο M*. — *Ἀμνισοῖο gmk*; *ἀμνισσοῖο L*; *ἀμνισσοϊο P*; *ἀμνίσιο F*[1]; *ἀμνίσοιο F*[2]*Mflh*: cf. ad 8, 115. — *ἐάσας gmk*; *ἐάσσας LΩ* (*ἐ- F*). — 252 *αἰδομένοις LΩ*; *ἀνδρομέοις m* (v. autem *k** ad 242). — *νέον* Cun. — *πίε φάσιδος LPM* (Cun., Rhodom.) *hgmk*; *πεφάσιδος Ff*; *περὶ Φάσιδος f*l*. — 253 *ἀρισταῖος L*[2] im. — *λοίσθιος Lf*Ω*; *λήθιος Fflh*. — 258 *δ' gmk*; *τ' LΩ*.

δεξάμενοι κόρον ὀξὺν ἀτερπέος εἶχον ἐέρσης·
καὶ κόρος ἦν μακάρων τρίτατον δέπας, οὐ δὲ τετάρτου
κιρναμένου γεύσαντο παλιννόστοιο κυπέλλου,
καὶ μάλα διψώοντες· ἀρυομένοιο δὲ Βάκχου
ὄμβρῳ ἐυρραθάμιγγι νόον τέρποντες ἐέρσης
εἰς ὅλον ἦμαρ ἔπινον ἀλωφήτου χύσιν οἴνου·
καὶ μεθύων γλυκὺν οἶνον ἐθάμβεεν ἄλλος ἐπ' ἄλλῳ
ἐξ ἑτέρου ποθέων ἕτερον δέπας ἡδέι θυμῷ,
εὐφροσύνην ἀκόρητον ἔχων θελξίφρονος οἴνου·
Ζεὺς δὲ μελιρραθάμιγγος ἐθάμβεεν ἔργα μελίσσης,
δαιδαλέην δ' ὠδῖνα φιλοσμήνου τοκετοῖο,
δῶρον Ἀρισταίοιο, καὶ οἰνοχύτῳ Διονύσῳ
ὤπασε λυσιπόνοιο φέρειν πρωτάγρια νίκης.
ἔνθεν Ἀρισταῖος βραδὺς ἤιεν εἰς μόθον Ἰνδῶν,
ὄψιμος εὐνήσας πρότερον χόλον ἅρπαγος ἥβης,
ἔνδιον Ἑρμείαο λιπὼν Κυλλήνιον ἕδρην·
οὔ πω γὰρ προτέρῃ Μεροπηίδι νάσσατο νήσῳ,

---

265 *διψώοντες* Wernicke 431, *k*; *διψῶντες LΩ*; *περ διψῶντες f*h*; *διψώωντες* Rhodom., *gm*. — 266 *τέρποντες*, sed *ρ* (om. L^1) inser. L^2, *Pf*Ω*; *τέρποντας FMf*. — *ἐέρσης LΩ* ('quod ferri posset, si esset *ὄμβρῳ ... ἐυρραθάμιγγος ἐέρσης*' *k**); *ὀπώρης k*. — 267 *ἀλωφήτου L* ac., *g** (coll. 20, 6) *mk*; *ἀλωοφύτου L* pc., *PFMg*; *ἀλ-* Rhodom., *lh*. — 269 *θυμῷ* (-ῶ) *LΩ*; *κέντρῳ k* (^{1} 408) coll. 342. 15, 85. — 270 *ἀκόρητον Lf*Ω*; *ἀκόρυτον Ff*; *ἀπόρητον h*. — 271 *ἐθάμβεεν LΩ* ('aperta corruptela ex 268 oriunda' *k**); *ἀπέστυγεν k*; *ἐτάρβεεν*? — 272 *δ'* Lehrs[1] 294 (v. Lch[1] 28); *τ' LΩ*. — 274 *φέρειν g*mk*; *φέρων LΩ*. — 275 *ἤιεν FMflh*. — *μόθον Lf*Ω* (Schrader 105); *μόχθον Ff*.— 276 *πρότερον L*. — *πρότερος μύλον* Scaliger; 'erat etiam, qui tentaret *πρότερον χόλον ἅρπαγι μίτρης*' *g**; *χόλον ἅρπαγος ἕδρης* Gerhard 114. — *χόλον* etiam *gmk*; *ὅλον LΩ*; *στόλον* Lubinus? ('classem' vertit); *δόλον* Rhodom. — *ἅρπαγος ἥβης* dubitanter scripsi (cf. 342 et 10, 218. 11, 370. 16, 392); *ἅρπαγα πέτρης LΩ* ('nisi quod in *M* ultima vocabuli *ἅρπαγα* litera in rasura literae *ι* scripta' *k**); *ἅρπαγι νίκης gmk*. — 278 *Μεροπηίδι gmk* (cf. Koehler 37); *μεροπηίδι LΩ*.

οὔ πω δ' ἀτμὸν ἔπαυσε πυρώδεα διψάδος ὥρης
Ζηνὸς ἀλεξικάκοιο φέρων φυσίζοον αὔρην,
οὐδὲ σιδηροχίτων δεδοκημένος ἀστέρος αἴγλην
Σείριον αἰθαλόεντος ἀναστέλλων πυρετοῖο
ἐννύχιον πρήυνε, τὸν εἰσέτι διψαλέον πῦρ
θερμὸν ἀκοντίζοντα δι' αἰθέρος αἴθοπι λαιμῷ
ἄσθμασι λεπταλέοισι καταψύχουσιν ἀῆται·
ἀλλ' ἔτι Παρρασίης πέδον ᾤκεεν. ἐρχομένῳ δὲ
λαὸς ἐθωρήχθη βαλανηφάγος Ἀρκὰς ἀλήτης,
οἵ τ' εἶχον Λασιῶνα καὶ ἄλσεα καλὰ Λυκαίου
καὶ κραναὴν Στύμφηλον, ἀειδομένην τε πολίχνην
Ῥίπην καὶ Στρατίην καὶ Μαντινέην καὶ Ἐνίσπην
Παρρασίην τ' εὔδενδρον, ὅπῃ πέδον ἐστὶ θεαίνης
ἀστιβὲς ἀρχεγόνοιο λεχώιον εἰσέτι Ῥείης,
καὶ δάπεδον Φενεοῖο καὶ ὀρχηθμοῖο τοκῆα,
Ὀρχομενὸν πολύμηλον, ἐδέθλιον Ἀπιδανήων,
οἵ τ' ἔχον Ἀρκαδίην πόλιν Ἀρκάδος, ὃν ποτε μήτηρ
Καλλιστὼ Διὶ τίκτε, πατὴρ δέ μιν εἰς πόλον ἄστρων
στηρίξας ἐκάλεσσε χαλαζήεντα Βοώτην·

---

280 φυσίζωον *Ff* (cr. *f**). — 281 ἀστέρος *LΩ* (ἀστέρο *M*); αἰθέρος *g**. — 286 ὤκεεν *PFMflh*. — 287 ἀλήτης *L* ac., *PΩ* (Rhodom.); ἀλήτης *L* pc.; ἀλήτη *FMf*. — 288 τεῖχον *F*. — λασιῶνα *LΩ* ('Λασίωνα alibi scribitur' *k**); Λασιῷνα *lh*; Λαδῶνα *m*. — ἄστεα καλὰ Κυταίου 237 affert *f**. — καλλὰ *F*. — Λυκαίου *gmk* (Koehler 37); κυταίου *LΩ*. — 289 τὲ *L*. — πολύχνην *Ff* (cr. *f**). — 290 Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην Hom. *B* 606. — 291 ἐν δέ σε Παρρασίῃ Ῥείη τέκεν, ἧχι μάλιστα ἔσκεν ὄρος θάμνοισι περισκεπές ... ἀλλά ἑ Ῥείης ὠγύγιον καλέουσι λεχώιον Callimach. h. Iov. 10 seqq. — 292 nota ϊ im *L*. — 293 φενεοῖο *LΩ*: v. *B* 605, ubi Φένεον nonnulli. — ὀρχηθμοῖο τοκῆα scripsi ([1] 60) coll. 24, 261; ὀρχμῆα τοκῆα *LPF Mf*; Ὀρχομενοῖο τοκῆα *f*lh*; Ὀρχομενοῖο πόληα *gm* ('sed praetulisset πολίχνην' *k**; v. Lch [1] 79); Ὀρχομενὸν πολύμηλον (ex *B* 605) *k* (v. autem Lch [2] 446. Tiedke [6] 229). — 294 ὀρχόμενον *Mflh*; ὀρμενὸν *F* ac. — 296 καλλιστὼ *L*[2] im. — καλλιστὼ *Lf*Ω*; καλλίστῳ *f*.

τόσσον Ἀρισταῖος στρατὸν ὥπλισεν Ἀρκάδι λόγχῃ
ἀνδράσι μαρναμένοις νομάδας κύνας εἰς μόθον ἕλκων,
τόν ποτε Κυρήνη, κεμαδοσσόος Ἄρτεμις ἄλλη,
Φοιβείῃ φιλότητι λεοντοφόνος τέκε νύμφη,
ὁππότε μιν Λιβύῃ ψαμαθώδεϊ καλὸς Ἀπόλλων
ἤγαγε νυμφοκόμῳ μετανάστιον ἅρπαγι δίφρῳ.
καί μιν ἐπισπεύδοντα λιπὼν μαντώδεα δάφνην
αὐτὸς ἑαῖς παλάμῃσι πατὴρ θώρηξεν Ἀπόλλων·
παιδὶ δὲ τόξον ἔδωκε, καὶ ἥρμοσε χειρὶ βοείην
δαιδαλέην, γλαφυρὴν δὲ καθιεμένην διὰ νώτου
ὠμαδίῳ τελαμῶνι κατεκλήισσε φαρέτρην.
τῷ δ' ἐπὶ Σικελίηθεν ἑκηβόλος ἦλθεν Ἀχάτης,
καί οἱ ἐφωμάρτησαν ὁμήλυδες ἀσπιδιῶται,
Κιλλυρίων τ' Ἐλύμων τε πολὺς στρατός, οἵ τε Παλίκων
ἕδρανον ἀμφενέμοντο, καὶ οἳ Κατάνην πάρα λίμνην
γείτονα Σειρήνων πόλιν ᾤκεον, ἃς Ἀχελῴῳ
Τερψιχόρη ῥοδόεσσα βοοκραίρων ἀπὸ λέκτρων
τίκτεν ἀελλήεντι συναπτομένη παρακοίτῃ·
οἵ τ' εἶχον Καμάριναν, ὅπῃ κελάδοντι ῥεέθρῳ
Ἵππαρις ἀστήρικτος ἐρεύγεται ἀγκύλον ὕδωρ,
Ὕβλης θ' ἱερὸν ἄστυ, καὶ οἳ σχεδὸν ᾤκεον Αἴτνης,

298 fol. 55r *L*, 47r *P*. — τόσσον *Lf**Ω*; τόσσα *PMf*; τόσ͞α *F*. — 299 μαρναμένοις *LΩ*; μαρναμένους *g**k*. — νομάδας *Lf**Ω*; νομάδος *Ff*. — 302 λιβύη *PFMfl* (cr. Rhodom.). — 304 ἐπισπεύδοντα *k*; ἔτι σπεύδοντα *LΩ*. — Δάφνην *lh*: cf. 12, 110. — 306 δὲ *Lf**Ω*; om. *FMfl*. — 307 γλαφυρήν δε *L* ac. — 309 ἀχαίτης sic *L*[2] im. — ἐπὶ *LΩ*; ἔπι *gmk*. — ἑκηβόλος *PFMf*. — Ἀχάτης *f**hgmk*; ἀχαίτης *LΩ*. — 311 κιλλυρίων *LΩ* (Lobeck[6] 147); 'nescio, an sanum sit' *g**; Κοσσυρίων *m*: cf. Koehler 38. — Παλίκων *gmk*; παλίγγων *LΩ*. — 312 ἕδρανον *Ffl*. — οἱ *FMfl*. — πάρα λίμνην scripsi (v. Lehrs[1] 283); παρὰ λίμνην *LΩ*; παράλιμνον *g** (v. autem Lch[2] 448). — 313 σειρῆνες et σημείωσαι *L*[2] im. — ὤκεον (ut 318 et ὤκεε 332. 336) et ἀχελώῳ *PFMflh*: v. Lobeck[8] I 454. — 314 Τερψιχόρῃ] v. Koehler 38. — 316 τεῖχον *F*; τε εἶχον *l*. — 318 ὕβλης *L* pc., *PΩ*; ὕβρης *L* ac.

ἧχι πυρὸς κρητῆρες ἀναπτομένης ἀπὸ πέτρης
θερμὸν ἀναβλύζουσι Τυφαονίης σέλας εὐνῆς,
οἵ τε δόμους ἐδάσαντο παρ' ὀφρυόεντι Πελώρῳ,
καὶ δάπεδον νησαῖον ἁλιρροίζοιο Παχύνου,
καὶ Σικελὴν Ἀρέθουσαν, ὅπῃ μετανάστιος ἕρπει
στέμματι Πισαίῳ κομόων Ἀλφειὸς ἀλήτης,
πορθμεύων βατὸν οἶδμα, καὶ ἀκροτάτου διὰ πόντου
ἕλκει δοῦλον Ἔρωτος ὑπέρτερον ἄβροχον ὕδωρ,
θερμὸν ἔχων ψυχροῖο δι' ὕδατος ἁπτόμενον πῦρ.
τοῖς ἔπι Φαῦνος ἵκανε πυρισφρήγιστον ἐάσας
Σικελίης τριλόφοιο Πελωρίδα πέζαν ἐρίπνης,
τὸν βυθίῳ Κρονίωνι συναπτομένη τέκε Κίρκη,
σύγγονος Αἰήταο πολύθρονος, ἣ παρὰ λόχμῃ
ᾤκεε πετραίοιο βαθύσκια κύκλα μελάθρου.
καὶ Λίβυες στρατόωντο παρ' Ἑσπέριον κλίμα γαίης
ἀγχινεφῆ ναίοντες ἀλήμονος ἄστεα Κάδμου·
κεῖθι γὰρ ἀντιπόρων ἀνέμων πεφορημένος αὔραις
εἰς χρόνον ᾤκεε Κάδμος, ἔχων Σιθωνίδα νύμφην
σύμπλοον, Ἁρμονίην ἔτι παρθένον, ἧς διὰ μορφὴν
γείτονας ἀντιβίους πολεμητόκος ὥπλισε φήμη,
ἣν Χάριν ἀντονόμηνε Λίβυς στρατός — ἁβροτέρη γὰρ

---

319 ἧχι *lhgmk*. — 321 πελώρῳ *LΩ*; Παχύνῳ *m*. — 322 παχύνου *LΩ*; Πελώρου *m*. — 324 ἀλήτης *LP*. — 327 σημείωσαι *L*² im. — ἀπτόμενον *FMf*. — 328 ἐάσας *gmk*; ἐάσσας *LΩ* (ἐ- *F*). — 329 Σικελίης Cun. (Koehler 39 coll. 6, 124), *k*; ἰταλίης *LΩ*; Αἰαίης *g**. — τριλόφοιο *f*l* (Cun.) *hgk*; τε λόφοιο *LΩ*; διλόφοιο *m*. — 330 βυθίῳ (-ω) *Lf*Ω*; βυθίαν *F* (ac.?) *fl*. — 334 ἀλήμονος *L* pc. — 336 Σιθωνίδα *hgmk* (σιθο- *f**); ειθωνίδα sic *LP*; εἰθωνίδα *FMfl*: cf. Koehler 39. — 337 σύμπλοον *gmk*; σύμπλοκον *LΩ*. — 338 φημή (*F*) *flh*. — 339 Χάριν ἀντονόμηνε scripsi; χαρίτην ὀνόμηνε *LΩ* (ὀνόμηνε *P*, ὠνόμηνε *F*); Χάριν ἣν ὀνόμηνε *gm*; Χάριν ἐξονόμηνε *k*. — λίβυς *LΩ* (Rhodom.); λίβης *Ffl*. — ἁβροτέρη *M*; ἀβρο^τρ'^ *F*; ἁβροτέρα *f* (cr. *f**).

Βιστονὶς ἐβλάστησεν ἐπιχθονίη Χάρις ἄλλη,
τῆς ἄπο καὶ Λιβύης Χαρίτων λόφος —, ἧς ἐπὶ μορφῇ
ἅρπαγος ὑσμίνης δεδονημένος ἄφρονι κέντρῳ
φρικτὸς ἐρωμανέων ἐκορύσσετο βάρβαρος Ἄρης,
λαὸς ἐρημονόμος Μαυρούσιος· ἀλλὰ τινάσσων
χερσὶ γυναιμανέεσσι Λιβυστίδος ἔγχος Ἀθήνης
Ἁρμονίης πολέμιζε προασπίζων παρακοίτης,
Ἑσπερίων δ' ἐφόβησεν ὅλον γένος Αἰθιοπήων
σὺν Διὶ θωρηχθέντι, σὺν Ἄρεϊ καὶ Κυθερείῃ·
κεῖθι καί, ὡς ἐνέπουσι, παρὰ Τριτωνίδι λίμνῃ
Ἁρμονίῃ παρέλεκτο ῥοδώπιδι Κάδμος ἀλήτης,
Νύμφαι δ' Ἑσπερίδες μέλος ἔπλεκον, ὧν ἀπὸ κήπου
Κύπρις ὁμοῦ καὶ Ἔρωτες ἐκόσμεον εὔγαμον εὐνήν,
χρυσείην θαλάμοισιν ἐπικρεμάσαντες ὀπώρην,
νύμφης ἕδνον ἔρωτος ἐπάξιον, ἧς ἀπὸ φύλλων
Ἁρμονίη καὶ Κάδμος ἐχεκτεάνῳ παρὰ παστῷ
βόστρυχον ἀφνειοῖσιν ἐμιτρώσαντο κορύμβοις
ἀντὶ ῥόδου γαμίοιο· καὶ ἁβροτέρη πέλε νύμφη
χρύσεα δῶρα φέρουσα, γέρας χρυσῆς Ἀφροδίτης·
καὶ μέλος ἀστραίης κιθάρης ἐπίκωμον ἐγείρας

---

340 *χάρις* pc. *L*. — 341 *λιβύης LΩ*; *Λιβύῃ g**: cf. Koehler 39. Rigler[7] 28. — *ἐπὶ* Rhodom., *gmk*; *ἔτι LΩ*. — 342 *Ὑσμίνης lh*. — 344 *ἐρημονόμος gmk*; *ἐρημονόμων LΩ*. — *μαρούσιος L PM*. — 345 *γυναιμανέεσσι gmk*; *χαμαιγενέεσσι LΩ* (-*εσι F* ac.). — 346 *πολέμιζε gmk*; *πτολέμιζε LΩ* (-*μιτε M*). — 348 *θωρηχθέντι Lf*Ω*; *χωρηχθέντι Ff*. — 350 *ἀλήτης LP*. — 351 *μέλος LΩ*; *λέχος h*. — *κήπου Lf*Ω*; *κῆπ'* *F*: *κηπῷ f*; *κήπων f*lhgm*. — 353 *χρυσίην F*. — *θαλάμοισι PF*; *ταλάμοισι M*; *θαλάμοῖσιν f*. — *ὀπώρην F*. — 354 *νύμφης gmk*; *νύμφης δ' LΩ*. — *ἔδνον PFM fh*. — *ἧς LΩ*, pc. *P*; *ἧρ P* ac.; *ἡ ρ' Mflh*; *ἡ ῥ F*: cf. Lch[1] 20. — 356 *βότρυχον M*. — *ἀφνιεῖσιν F*; *ἀφνειοισιν f*; *ἀφνείοισιν lh*. — 358 *χρυσῆς LΩ* (ex Hom. *Γ* 64); *χρυσέης gmk*. — 359 *Ἀστραίης lh*. — *ἐπίκωμον* Scaliger, *gmk*; *ἐπὶ κῶμον LΩ* ('fortasse recte' *g**).

μητροπάτωρ σφαιρηδὸν ἑῷ βητάρμονι ταρσῷ
οὐρανὸν ἀμφελέλιξε Λίβυς κυρτούμενος Ἄτλας,
καὶ μέλος ἁρμονίης ἐμελίζετο γείτονι φωνῇ·
καὶ ζυγίης φιλότητος ἑῆς μνημήια νύμφης
δῶκε ποδῶν ἐπίβαθρα Λιβυστίδι Κάδμος ἀρούρῃ,
δωμήσας πολίων ἑκατοντάδα, δῶκε δ' ἑκάστῃ
δύσβατα λαϊνέοις ὑψούμενα τείχεα πύργοις.
κείνου μνῆστιν ἔχοντες ἐπεστρατόωντο μαχηταὶ
μαρναμένου Βρομίοιο προασπιστῆρες Ἐνυοῦς,
τικτομένης ναίοντες ἐδέθλια γείτονα Μήνης
καὶ Διὸς Ἀσβύσταο μεσημβρίζοντας ἐναύλους,
μαντιπόλου κερόεντος, ὅπῃ ποτὲ πολλάκις Ἄμμων
ἀρνειοῦ τριέλικτον ἔχων ἴνδαλμα κεραίης
ὀμφαλίοις στομάτεσσιν ἐθέσπισεν Ἑσπέριος Ζεύς·
οἵ τε ῥόον Χρεμέταο καὶ οἳ παρὰ Κίνυφος ὕδωρ
ᾤκεον ἀζαλέης ψαμαθώδεα πέζαν ἀρούρης,
Αὐσχῖσαι Βάκαλές τε συνήλυδες, οὓς πλέον ἄλλων
Ἄρεϊ τερπομένους Ζεφυρήιος ἔτρεφεν ἀγκών.
τόσσος λαὸς ἔην ἑκατόμπολις· ἐρχομένης δὲ
πληθύος ἡγεμόνευε Κραταιγόνος, ὅν ποτε κούρη

---

360 ταρσῷ (-ῶ) LΩ; παλμῷ k. — 361 ἄτλας Lf*Ω (cf. 3, 349); ἄρ^λτας sic F; ἄρτας f: cf. Meineke[4] 176. Volkmann[2] p. XIX. — 362 Ἁρμονίης lh. — 363 μνημηΐα Mf; μνημΐηα F. — 364 fol. 55ᵛ L, 47ᵛ P. — ποδῶν LΩ (-ὸν F); 'δόμων?' k*. — ἐπίβαθρα Lf*Ω; ἐπὶ βάθρα FMfl. — 365 ἑκατοντάδα Lf*Ω; ἑκαντοτάδα M; αἰκαντοτάδα Ff. — δεκάστη F; -ῃ f (cr. f*). — 369 τικτομένης LΩ; τυφομένης Kriegsmann 53; αἰθομένης Bochart 468; τηκομένης Triller 9, m: cf. autem 5, 71 seqq. et Koehler 39. — 372 ἀρνειοῦ gmk; ἀλφειοῦ LΩ. — 374 οἱ π. FM fl. — Κίνυφος] v. Lobeck[6] 294. — 375 ὤκευν FMflh. — 376 Αὐσχῖσαι gmk; αὐχῆται LΩ. — βάκαλές LΩ; Κάβαλές Wesseling ad Diod. III 49 (v. Lehrs Herod. p. 32), gm: cf. Koehler 40. — 377 ἔτρεφεν LΩ (Rhodom.); ἔστρεφεν PFMfl. — 378 ἑκατόνπολις L; ἑκατόμπολυς F; -λης M.

Ἀγχιρόη Χρεμέταο παρὰ πλαταμῶνα τοκῆος
Ψύλλου κουφονόοιο μινυνθαδίη τέκεν εὐνῇ
νυμφίον ἀγκὰς ἔχουσα θεημάχον, οὗ ποτε καρποὺς
ἄσθματι διψαλέῳ Νότος ἔφλεγε θερμὸς ἀήτης·
αὐτὰρ ὁ θωρήσσων κορυθαιόλον Ἄρεα νηῶν
ναύμαχον ἑσμὸν ἄγειρεν, ὅπως ποινήτορι θεσμῷ
ἠερίοις ἀνέμοισιν ἀναστήσειεν Ἐνυώ,
ἱέμενος κτεῖναι φλογερὸν Νότον· ἄγχι δὲ νήσου
Αἰολίης στόλος ἦλθε σακέσπαλος, ἀλλὰ μανέντος
ἀνδρὸς ἀκοντιστῆρες ἀελλήεντι κυδοιμῷ
ὁλκάδα μαστίζοντες ἐθωρήχθησαν ἀῆται,
συμφερτὴν δονέοντες ἀρηγόνα σύμπνοον αὔρην,
καὶ στρατιὴν καὶ Ψύλλον ἐτυμβεύσαντο θαλάσσῃ.
Θρηικίης δὲ Σάμοιο συνέρρεον ἀσπιδιῶται,
κοίρανος οὓς προΐαλλε βαθυσμήριγγος ὑπήνης,
Ἠμαθίων βαρύγουνος, ἔχων χιονώδεα χαίτην,
Τιτήνων μελέεσσιν ἐοικότας, οἵ τ' ἔχον ἄμφω,
ἀγχίαλον Μύρμηκα καὶ ἀνθεμόεντα Σαώκην,
καὶ χθόνα Τευμερίοιο καὶ εὐλείμωνος ἀρούρης
ἄλσεα Φησιάδαο κατάσκια δενδράδι λόχμῃ,
καὶ ζαθέην Ζήρυνθον ἀκοιμήτων Κορυβάντων

---

380 Ἀγκινόη *m*. — 382 ποτὲ *Fflhm*. — 384 αὐτὰρ *Lf** Ω; ἀρτὰρ *FMf*; αὔταρ *lh*. — ὃ (*L*)*PFgmk*. — κορυθαίολον *FM flhgmk*. — 385 ναύμαχον *L*Ω: v. Lobeck[4] 557. — ὅπως Rhodom., *gmk*; ὅπῃ *L*Ω. — θεσμῷ (-ῶ) *L*Ω; θυμῷ *k* ('alius χαλκῷ scripsisset abusus 152' *k**): v. autem Tiedke[1] 37. — 387 ἱέμενοι κτεῖναι Hom. δ 823 (v. Tiedke[3] 272). — ἱέμενος *LPFM*. — 388 αἰολιὴς *FMf* (cf. *f**). — σακεσπάλος *LPM*. — 391 δονίοντες *F*. — ἀρηγόνα *Lf** Ω; ἄραις γόνα *F*; ἄρας γόνα *fl*; ἀρείονα *m*. — 392] post h. vs. posuit 432—498. 511—545. 499—510. 546—565. 393—431. 566 seqq. *m*. — 396 οἱ *Ff*. — ἔχων *PF*. — 398 τευμερίοιο *LPFM*; Τεσμερίοιο *f*Ω; Τεμπυρίοιο *m*. — 399 φησιάδαο *LPM*; φυσιάδαο *F*Ω; Ὀδρυσίων τε *m*. — 400 Κήρυνθον *h*: v. Lobeck[3] 1143.

κτίσμα φατιζομένης Περσηίδος, ὁππόθι κούρης
μυστιπόλων δαΐδων θιασώδεές εἰσιν ἐρίπναι,
οἵ τε πολυγλώχινος ὑπὸ κρηπῖδος ἀρούρης
Βρόντιον ἀμφενέμοντο, καὶ ἃς ἐπὶ γείτονι πόντῳ
Ἀτραπιτοὺς βυθίοιο Ποσειδάωνος ἀκούω.
τόσσαι μὲν στίχες ἦλθον ὁμήλυδες, ἀρχεγόνου δὲ
Ἠλέκτρης ὁμόφυλον ἐπιστώσαντο γενέθλην·
κεῖθι γὰρ Ἁρμονίην γένος αἰθέρος, αἷμα θαλάσσης,
Ἄρης, Ζεύς, Κυθέρεια θεῶν χραισμήτορι Κάδμῳ
κουριδίην ἀνάεδνον ἐδωρήσαντο γυναῖκα.
τοῖσι κορυσσομένοισι σὺν εὐθύρσῳ Διονύσῳ
Ἠλέκτρης ἀνέτελλε δι' αἰθέρος ἕβδομος ἀστὴρ
δεξιὸν ὑσμίνης σημήιον, ἀμφὶ δὲ νίκῃ
Πληιάδων κελάδησε βοῆς ἀντίθροος ἠχὼ
γνωτῆς αἷμα φέροντι χαριζομένη Διονύσῳ,
καὶ στρατιῇ πόρε θάρσος ὁμοίιον· ἐρχομένων δὲ
Ὤγυρος ἡγεμόνευεν ἐς Ἄρεα δεύτερος Ἄρης,
Ὤγυρος ὑψικάρηνος, ἔχων ἴνδαλμα Γιγάντων·
τοῦ μὲν ἔην ἄγναμπτον ὅλον δέμας, ἐκ δὲ καρήνου
αὐχενίου τε τένοντος ὀπισθοκόμων ἐπὶ νώτων
ἰσοφανεῖς πλοκαμῖδες ἀκανθοφόροισιν ἐχίνοις
ἔρρεον ἰξύος ἄχρι κατήλυδες· εἶχε δὲ δειρὴν
μηκεδανήν, περίμετρον, ὁμοίιον αὐχένι πέτρης,
βάρβαρον ἦθος ἔχων πατρώιον· οὐδέ τις αὐτοῦ

---

402 θιασώδεες (-δεαις *F*) εἰσὶν *LPFMf*. — 403 ʻπυριγλώχινος?' *k**. — κρηπῖδος *gmk*; κρηπίδος *LΩ*. — 404 βρόντιον *LP*; βρότιον *FM*; Βρώτιον *fΩ*; Βρίσιαν *m*. — ἐπὶ *k*; ὑπὸ *LΩ* (ὕπο *F*). — πόντων *F*. — 405 Ἀτραπιτοὺς (*lh*) *gmk*; ἀτραπιτοὺς *LΩ*; ἀτραπιτοῦς *Ff*. — 407 ἐπιστώσαντο *LΩ* (Scaliger); ἐπισώσαντο *Fflh*. — 409 θεῶν, sed θ ex λ cr. *L*. — 416 ὁμοίιον *LΩ*; ὀλώιον *k*; ὀλοίιον Nauck[4] 91. — 420 τε] v. Lehrs[1] 297. — τέννοντος *M*. — ὀπισθοκόμων *Ff*. — 421 πλοκαμῖδες *gmk*; πλοκαμίδες *LΩ*. — ἐχίνοις *Lf*Ω*; ἐχίνου *Ff*. — 424 ἦθος *LΩ*; εἶδος *k*.

φέρτερος ἄλλος ἵκανεν Ἑώιον εἰς μόθον Ἰνδῶν
νόσφι Διωνύσοιο· καὶ ὅρκιον ὤμοσε Νίκην
Ἰνδῴην χθόνα πᾶσαν ἑῷ δορὶ μοῦνος ὀλέσσαι.
καὶ θρασὺς υἱὸς Ἄρηος ἑὴν Πίμπλειαν ἐάσας
Βιστονίης Οἴαγρος ἐκώμασεν ἀστὸς ἀρούρης,
Ὀρφέα καλλείψας ἐπὶ γούνασι Καλλιοπείης
νήπιον ἀρτιχύτῳ μεμελημένον εἰσέτι μαζῷ.
Κυπριάδας δὲ φάλαγγας ἐκόσμεε Λίτρος ἀγήνωρ
εὐχαίτης τε Λάπηθος· ἐθωρήσσοντο δὲ πολλοί,
οἵ τ' ἔλαχον Σφήκειαν, ἁλίκτυπον ἄντυγα νήσου,
Κύπρον ἐυπτερύγων θεοδέγμονα νῆσον Ἐρώτων,
Κύπριδος αὐτογόνοιο φερώνυμον, ἧς ποτε Κύπρου
ἄκρα περιγράψας βυθίῃ γλωχῖνι τριαίνης
ἰσοφυῆ δελφῖνι τύπον τορνώσατο Νηρεύς —
ὁππότε γὰρ γονόεσσα κατάρρυτος ἄρσενι λύθρῳ
Οὐρανίη μόρφωσε λεχώιον ἀφρὸν ἐέρσῃ
καὶ Παφίην ὤδινε, Κεραστίδος εἰς χθόνα Κύπρου
ἔμφρονα θυμὸν ἔχων ὑπὲρ οἴδματος ἔτρεχε δελφίς,
ἐζομένην λοφίῃσιν ἐλαφρίζων Ἀφροδίτην —,
οἵ τ' ἔχον Ὑλάταο πέδον καὶ ἐδέθλια Σηστοῦ

---

425 εἰς *k*; ἐς *LΩ*. — μόθων *F*. — 427 ἰνδώην *FMflh*. — 428 ἐάσας *gmk*; ἐάσσας *LΩ* (ἐ- *F*). — 429 Ὄαγρος *h*. — γρ „ἀστὸς" *LPg** im., itaque *Mk* it.; ἄστρον *L* (del. *P*) *Fflh* (coll. 41, 149) *gm* it. (Schrader 132); οἶστρον (ex 242) Heyne ap. *k**: cf. Rigler[7] 28. — 430 fol. 56[r] *L*, 48[r] *P*. — 431 ἀρτιχύτῳ (-ω) *LΩ*; ἀρτιχύτον *h*: cf. Rigler[5] 16. — 432] v. ad 392. — κυπριάδας *LΩ* (Lobeck[6] 467); κυπριάδος *Fflh*. — δὲ *gmk*; τε *LΩ*. — ἐκοσμήτην Ἀγαπήνωρ *m*. — 433 τὲ *L*. — ἐθωρήσσοντο *fΩ*; θωρήσσοντο *LPFM*. — 434 σφήκειαν *Lgmk*; σφήκειας *PΩ*. — 436 ποτὲ *gm*. — Κύπρου *gmk*; κύπρω *LF*; -ῳ *PΩ*. — 437 περιγράψας *F*. — γλωχίνι *PFMf*. — 438 ἰσοφυῆ *L* pc., *k*; ἰσοφυεῖ *L* ac., *PΩ*. — δελφίνι *PFMf*. — 439 ὁππότε *L*[2] ss., *PΩ*; οὔποτε (post οὔ una littera deleta) *L* it. — 440 οὐρανίῃ et ἐέρσῃ *fl* (cr. *f**). — μόρφοσε *M*. — 441 κεραστίδος *LΩ*; κεραστάδος *PFMflh*: cf. 5, 614. Lobeck[6] 454. — 444 οἵ τ' ἔχον Ὑλάταο θεοῦ

καὶ Τάμασον καὶ Τέμβρον Ἐρυθραίην τε πολίχνην
καὶ τέμενος βαθύδενδρον ὀρεσσαύλοιο Πανάκρου·
ἐκ δὲ Σόλων κεκόρυστο πολὺς στρατός, ἐκ δὲ Λαπήθου,
ὕστερον ἣν ἐκάλεσσαν ὁμώνυμον ἡγεμονῆος,
ὃς τότε λαὸν ἄγειρεν, ἐν εὐθύρσῳ δὲ κυδοιμῷ
κάτθανε καὶ κτερέιστο καὶ οὔνομα λεῖπε πολίταις·
οἵ τε πόλιν Κινύρειαν ἐπώνυμον εἰσέτι πέτρην
ἀρχεγόνου Κινύραο, καὶ Οὐρανίης πέδον ἕδρης
αἰθερίου κενεῶνος ἐπώνυμον, ὅττι πολίτας
ἔτρεφεν ἀστράπτοντας ἐπουρανίων τύπον ἄστρων,
οἵ τ' εἶχον Κραπάσειαν, ἁλιστεφὲς οὖδας ἀρούρης,
καὶ Πάφον, ἁβροκόμων στεφανηφόρον ὅρμον Ἐρώτων,
ἐξ ὑδάτων ἐπίβαθρον ἀνερχομένης Ἀφροδίτης,
ἧχι θαλασσογόνου Παφίης νυμφήιον ὕδωρ,
Σέτραχος ἱμερόεις, ὅθι πολλάκις εἷμα λαβοῦσα
Κύπρις ἀνεχλαίνωσε λελουμένον υἱέα Μύρρης,

ἕδος Ἀπόλλωνος, Τέμβρον Ερύσθειάν τε καὶ ϝιναλίην Ἀμαμασσόν Dionysius ap. Steph. Byz. v. *Ἐρύσθεια*. — *Ὑλάταο gmk*; *ὑδατόεν τε LΩ*. — *ἐδέθλια σηστοῦ LΩ* (suspectum *g**); *ἐδέθλια Χυτροῦ m*; *ἕδεθλα Τεγησσοῦ* olim Koehler 41. — 445 *Τάμασον*] v. Lobeck[6] 407. — *Τέμβρον*] v. Meineke[3] 614 .— *ἐρυθραίην LΩ* (*ἐρυθαίην FM*); *Ἐρύσθειάν gmk*: cf. tamen *g**, Meineke[8] 280, Tiedke[6] 228. — *τὲ L*. — 446 *Πανάκρου* Berkel ad Steph. Byz. v. *Πάνακρα*, *gmk*; *πανάρκτου LΩ*. — 447 *Λαπήθου g*k*; *λαπήθων LΩ*; *Λαπίθων h*. — 448 *ὁμώνυμον gmk*; *ἐπώνυμον LΩ*. — 451 *Κινύρειαν*] v. Dionysium ap. Steph. B. v. *Καρπασία*. — *πέτρην* Lehrs[1] 256; *πέτρ* cum nota syllabam *ην* aut *ων* (non *ῶν*) significante *LP*; *πετρῶν FMflhgm*; *λέκτρων k*. — 452 *οὐρανίης l* ('caelestis') *h*. — 454 *ἔτρεφεν L* (Rhodom.) *gmk*; *ἔστρεφεν PΩ*. — 455 *Κραπάσειαν gm*k* (v. Dionysium l. l. 361, 16. Meineke[2] 119); *κρεμάσειαν LΩ* (*Καρπάσειαν m*). — *ἁλιστεφὲς F*. — *οὖδας LΩ*; *οὖθαρ g**. — 456 *ἀβροκόμων F*. — 457 *ἐπίβαθρον LΩ* (Scaliger); *ἐπὶ βάθρον flh*. — 458 *ἧχι lhgmk*. — *θαλασσογόνου L* (Lobeck[6] 518. [8]I 466); *θαλασσιγόνου FΩ* (*θαλάσσογό-P*). — 459 *σέτραχος L* (Haupt[1] 74. Meineke[2] 280); *σέστραχος PFMflh*; *Σάτραχος gmk*. — *πολλάκης P*. — *εἷμα λαβοῦσα L*; *οἶδμα λαβοῦσα PΩ*; *οἶδμα λιποῦσα k*.

καὶ πόλιν ἀρχεγόνου ποτὲ Περσέος, ᾧ ποτε Τεῦκρος,
καλλείψας Σαλαμῖνα χολωομένου Τελαμῶνος,
ὁπλοτέρην πύργωσεν ἀειδομένην Σαλαμῖνα.
Λυδῶν δ' ἁβρὸς ὅμιλος ἐπέρρεεν, οἵ τ' ἔχον ἄμφω,
Κῖμψον ἐυψήφιδα καὶ ὀφρυόεσσαν Ἰτώνην,
οἵ τε Τορήβιον εὐρύ, καὶ οἳ Πλούτοιο τιθήνας
Σάρδιας εὐώδινας, ὁμήλικας ἠριγενείης,
καὶ χθόνα Βακχείην σταφυληκόμον, ἧχι τεκούσῃ
ἀμπελόεις Διόνυσος ἔχων δέπας ἔμπλεον οἴνου
Ῥείῃ πρῶτα κέρασσε, πόλιν δ' ὀνόμηνε Κεράσσας,
καὶ σκοπιὰς Ὀάνοιο, καὶ οἳ ῥόον ἔλλαχον Ἕρμου
ὑδατόεν τε Μέταλλον, ὅπῃ Πακτώλιον ἰλὺν
ξανθὸς ἀποπτύων ἀμαρύσσεται ὄλβος ἐέρσης·
καὶ Στατάλων κεκόρυστο πολὺς στρατός, ἧχι Τυφωεὺς
θερμὸν ἀναβλύζων πυριθαλπέος ἄσθμα κεραυνοῦ
ἔφλεγε γείτονα χῶρον, ἀελλήεντι δὲ καπνῷ
αἰθομένου Τυφῶνος ἐτεφρώθησαν ἐρίπναι,

---

461 *πόλιν gmk; πέλεν LΩ.* — *ποτὲ LΩ; τότε k.* — *ᾧ ποτε flh; ὠ ποτε LPFM; ᾧ ποτὲ gm; ᾗ ποτε k; ὁππότε?* — 463 *ὁπλωτέρην* et *ἀειδωμένην F.* — 464 *ἀβρὸς FM.* — *τ' ἔχον Lhgmk* (cf. 396); *γ' ἔχον*, sed *ἐ* syllabae *ἴσ* haud absimilis *P, fl* (v. Lch[1] 20); *γ' ἴσχον F; τ' ἴχον M.* — 465 *κῖμψον L; κίμψον PΩ* ('suspectum' *g**). — 466 *Τορήβιον gmk* (Lobeck[6] 288. Volkmann[3] p. XX); *τορύβιον*, sed *τ* pc. *L, PΩ.* — *οἱ π. LPFMfm.* — 466 *τιθήνας gmk; τιθήνης LΩ; τιθήνην* Rhodom.: cf. Koehler 42. — 467 *ὁμήλικας*] cf. 41, 88. — 468 *ἧχι τεκούσῃ* Koch[1] 173 (cf. 47, 473); *ἧχι τε κούρης LPM* (*κοῦ F*); *ἧχι τε κούρῃ f; ἧχί τε κούρῃ l; ἡχί τε κούρῃ h; ἧχί τε κοῦρος gmk* (sed v. Lehrs[1] 269. Volkmann[4] 21). — 469 *ἀμπελόους FMf* (cr. *f**). — *ἔμπνεον h.* — 470 *ὀνόμηνε h.* — *Κεράσσας*] v. Lobeck[6] 483. — 471 *δάνοιο LΩ* (Lobeck[6] 180. Meineke[3] 482. Koehler 42); *ὁ ἄνοιο F; δάνοιο flh; Ὀανοῖο gm.* — *οἱ Ff.* — *ἔλαχον ἔρμου F.* — 472 *τὲ L.* — *Μέταλλον* addubitat *g**. — *πακτώλιον ἰλὺν LΩ; Πακτώλιος ἰλὺς k.* — 473 *ξανθὸς* et *ὄλβος LΩ; ξανθὸν* et *ὄλβον k.* — 474 *στατάλων LΩ* ('ne corrigere tentes, v. 485' *g**; Koehler 42); *στατάλλων F.* — *ἧχι lhgmk.* — 475 *ἄσθμα LΩ; ἆσθμα gmk.* — 477 *αἰθομένου Lf*Ω; αἰσθομένου Ff; αἰθομένοιο h.*

γυιοβόρῳ σπινθῆρι μαραινομένων κεφαλάων·
ἀλλὰ Διὸς Λυδοῖο θυώδεα νηὸν ἐάσας
ἀρητὴρ ἀσίδηρος ἐμάρνατο κέντορι μύθῳ,
μύθῳ ἀκοντιστῆρι, καὶ οὐ τμητῆρι σιδήρῳ,
γλώσσῃ ἐρητύων πειθήνιον υἱὸν ἀρούρης,
ἔγχος ἔχων στόμα θοῦρον, ἔπος ξίφος, ἀσπίδα φωνήν,
τοῦτο θεοκλήτῳ προχέων ἔπος ἀνθερεῶνι·
„στῆθι, τάλαν“· φλογόεις δὲ Γίγας ὑπὸ μύστιδι τέχνῃ
ἀρραγέος μύθοιο σοφῷ στηρίζετο δεσμῷ
ἀνέρα δειμαίνων κεκορυθμένον ἔμφρονι λόγχῃ,
γυιοπέδην ἀσίδηρον ἔχων ποινήτορι μύθῳ·
οὐδὲ τόσον τρομέεσκεν διστευτῆρα κεραυνοῦ
αἰνογίγας πολύπηχυς, ὅσον ῥηξήνορα μύστην
γλώσσῃ διστεύοντα λάλον βέλος, εἶχε δὲ κάμνων
ἕλκεα φωνήεντα πεπαρμένος ὀξέι μύθῳ·
καὶ πυρὸς ἕλκος ἔχων, τετορημένος ἔγχεϊ θερμῷ,
ἄλλῳ θερμοτέρῳ νοερῷ πυρὶ κάμνε Τυφωεύς,
καὶ στατὸν ἀστυφέλικτον ἐνερρίζωσεν ἀνάγκῃ
ταρσὸν ἐχιδνήεντα πεπηγότα μητέρι Γαίῃ,
οὐτηθεὶς ἀχάρακτον ἀναιμάκτῳ δέμας αἰχμῇ.
ἀλλὰ τὰ μὲν προτέροισιν ἐν ἀνδράσιν ἤγαγεν αἰών.
τοὺς δὲ λίγα κροτέοντας ὑπ' εὐρύθμῳ χθόνα ταρσῷ
καὶ Στάβιος καὶ Στάμνος ἐπὶ κλόνον ὥπλισαν Ἰνδῶν·

479 Λυδιοῖο h. — ἐάσας gmk; ἐάσσας LΩ. — 480 ἀρητὴρ gmk; ἀρείους LΩ; Ἄρεῖος h; Ἀρειεὺς g* ('sed cf. 490'). — μύθω Cun. (Wernicke 378), gmk; θυμῷ (-ῶ) LΩ. — 482 ἐρυτύων Ff (cr. f*). — πειθήνιον LΩ; Τιτήνιον Cun. — 485 φλογόεις vel -γάεις P; φλογεύεις M; φλογεὶς F; φλογοεὶς f. — μίστιδι F; μυστίδι gm. — 490 πολύπηχυς LΩ; πολύπηχος FMfl. — 495 στατὸν gmk; στρατὸν LΩ. — 496 fol. 56ᵛ L, 48ᵛ P. — 497 αἰχμῇ (-ῆ) Lf*Ω; ἀχμῇ (-ῆ) PFMf. — 498 αἰών] v. Rigler[7] 21. — 499] v. ad 392. — κροτέοντας gmk (Spitzner[1] 56); κρατέοντας, sed prior α littera obscurior L, PΩ (κραταίον- F). — 500 στάβιος LPM; γάβιος FΩ.

καὶ στρατὸν ὀρχηστῆρα περισκαίροντα δοκεύων
τοῖον ἔπος λέξειας, ὅτι πρόμος ἡγεμονεύει
εἰς χορόν, οὐκ ἐπὶ δῆριν, ἐνόπλιον ἄνδρα κομίζων·
τοῖσι γὰρ ἐρχομένοισιν ἀνακρούουσα χορείην
Μυγδονὶς ἐγρεκύδοιμος ἐπὶ κλόνον ἔβρεμε φόρμιγξ,
ἀντὶ χοροῦ πέμπουσα μόθου λαοσσόον ἠχώ·
καὶ πολέμων σάλπιγγες ἔσαν σύριγγες Ἐρώτων,
καὶ δίδυμοι Βερέκυντες ὁμόζυγες ἔκλαγον αὐλοί,
καὶ κτύπον ἀμφιπλῆγα βαρυσμαράγων ἀπὸ χειρῶν
χαλκείοις πατάγοισιν ἐμυκήσαντο βοεῖαι.
καὶ Φρύγες ἐστρατόωντο παρ' ἐγρεμόθων στίχα Λυδῶν,
οἵ τ' ἔλαχον Βούδειαν, ἀειδομένην τε πολίχνην
δενδροκόμον Τεμένειαν, ἐύσκιον ἄλσος ἀρούρης,
οἳ Δρεσίην ἐνέμοντο καὶ Ὄβριμον, ὅς τε ῥεέθροις
Μαιάνδρου σκολιοῖσιν ἑὸν παραβάλλεται ὕδωρ,
καὶ δάπεδον Δοίαντος ἐπώνυμον, οἵ τε Κελαινὰς
χρυσορόφους ἐνέμοντο καὶ εἰκαστήρια Γοργοῦς·
τοῖσι συνεστρατόωντο καὶ οἳ λάχον ἄστεα ναίειν

504 *ἐρχομένοισιν gmk*; *εὐχομένοισιν LΩ*. — 505 *ἐπίκλονον* Scaliger. — 507 *πολέμων k*; *πτολέμων LPM*; *πτολέμω F*; *-μῳ flh*; *πολέμῳ g*. — 508 *Βερέκυντες*] v. Lobeck[4] 166. — *ὁμόζυγες Lf*Ω*; *ὁμόζυγος FMf*. — *ἔκλαγον Lf*Ω*; *ἔκλασον Ff*: cf. 5, 286. — 511] v. ad 392. — *ἐγρεμόθων f*Ω*; *ἐγχεμόθων LPM*; *ἐγχεμόχθων Ffl*; *ἐγχεμάχοιο* (?) Scaliger; *ἐγχεμάχων h*; *ἐγρεμάχων* vel *ἀγχεμάχων* vel *ἀγχιμάχων h**. — *Πολίχνην· h*. — 513 *Τεμένειαν (L)gk* (v. Meineke[3] 614. Koehler 43); *τε Μένειαν (PFf)lh*; *τε μὲν εἶαν M*; *Τελμησσὸν m*. — 514 *δρεσίην Lf*Ω*; *δρεσίοιν Ff*. — *Ὄβριμον, ὅς τε gmk* (v. Koehler l. l., Lehrs[1] 270); *ὀγρίμονός τε LP*; *ὀγριμονός τε Ffl*; *ὀγρὶ μονός τε M*; *Ὄγριμον, ὅς τε* Scaliger, *h*. — 515 *σκολιοῖσιν ἑὸν παραβάλλεται gmk*; *σκολιοῖσι* (*-σιν F*) *νέον περιβάλλεται LΩ*. — 517 *χρυσορόφους* Herm.[3] VII 278; *χρυσοχόρους LΩ*; *χρυσοφόρους g*; *εὐρυχόρους m*k*. — *εἰκαστήρια Γοργοῦς* Lobeck[4] 549 (coll. Et. M. v. Ἰκόνιον p. 470, 51); *ἱκαστήρια γοργοῦς LΩ*; *ἱλαστήρια Γοργοῦς f*lh* (Herm.); *ἱερὰ ῥεύματα Γοργοῦς* Cun.; *ἴλαον* (*ἱλάον* sic *m**) *ῥόον Ὀργοῦς m*; *εὐναστήριον Ὀργοῦ k*.

γείτονα Σαγγαρίου, καὶ Ἐλέσπιδος ἕδρανα γαίης.
τῶν πρόμος ἡγεμόνευε, λιπὼν ὀφιώδεα Δίρκην,
Πρίασος, Ἀονίης μετανάστιος ἀστὸς ἀρούρης·
ὁππότε γὰρ Φρυγίης πέδον ἔκλυσεν ὑέτιος Ζεύς,
ὀμβρηροῖς πελάγεσσι χέων ὑψίδρομον ὕδωρ,
καὶ δρύες ἐκρύφθησαν, ἀκανθοφόροις τ' ἐνὶ βήσσαις
διψαλέαι ποταμηδὸν ἐκυμαίνοντο κολῶναι,
ἰκμαλέον τότε δῶμα λιπὼν κεκαλυμμένον ὄμβρῳ
καὶ ῥόον ἠερόφοιτον, ἀκοντιστῆρα μελάθρων,
Πρίασος Ἀονίης μετανάσσατο κόλπον ἀρούρης,
Ζηνὸς ἀλυσκάζων θανατηφόρον ὄμβριον ὕδωρ·
αἰεὶ δ' ἀλλοδαποῖσι παρ' ἀνδράσι δάκρυα λείβων
μνώετο Σαγγαρίοιο καὶ ἠθάδα δίζετο πηγήν,
Ἀονίου ποταμοῖο πιὼν ἀλλότριον ὕδωρ·
ὀψὲ δὲ δύσνιφον οἶδμα καὶ ὑδατόεσσαν ἀνάγκην
Ζεὺς ὕπατος πρήυνε, καὶ ἐκ Σιπύλοιο καρήνων
κλυζομένης Φρυγίης παλινάγρετον ἤλασεν ὕδωρ·
καὶ ῥόον ἐννοσίγαιος ὅλον μετέθηκε τριαίνῃ
εἰς βυθίους κευθμῶνας ἀτεκμάρτοιο θαλάσσης,
καὶ νιφετοῦ κελάδοντος ἐγυμνώθησαν ἐρίπναι·
καὶ τότε Βοιωτοῖο παλίνδρομος οὖδας ἐάσας
Πρίασος ὑστερόμητις ἑὴν ὑπεδύσατο πάτρην,

---

519 ἐλέσπιδος LΩ; 'nomen suspectum' g*; Ἐπίκτητος m. — ἕδρανα FM. — 520 τῶν LΩ (Rhodom.); τὸν Ffl. — 521 Πρίασος] v. Lobeck[6] 405. — 523 πελάγεσι F ac. — 524 δ' Lehrs[1] 298, k*; τ' LΩ (cf. Lch[1] 24). — 526 κεκαλυμμένον LΩ; 'κεκλυσμένον?' k*. — 527 ῥόον L[2]Ω, pc. P; ῥόν L[1], ac. P; ῥόνος M (nempe ῥόν [o] invenerat in archetypo). — 530 αἰεί L. — ἀνδρᾶσι Fflh. — 532 πιῶν Ff. — 534 ὕπατος LΩ (Scaliger); ὕδατος FMfl: cf. 38, 162. — πρηῦνε M. — 535 κλυζομένης LΩ (Rhodom.); κλιζομένης FMfl. — 539 παλινδρομος gmk; παλίνδρομον LΩ (v. g*). — ἐάσας gmk; ἐάσσας LΩ. — 540 ὑπεδύσατο f*Ω; ὑπεδήσατο LPFMf.

καὶ γενέτην βαρύγουνον ἀπήμονι πήχεος ὁλκῷ
νόστιμος ἀγκὰς ἔμαρψεν, ὃν εὐσεβέων χάριν ἔργων
Ζεὺς μέγας ὀμβρήεντος ἀνεζώγρησεν ὀλέθρου,
Βρόμβιον ὃν καλέουσιν· ἀπὸ Φρυγίοιο δὲ κόλπου
Πρίασον αὐχήεντες ἐκυκλώσαντο μαχηταί.
Ἀστερίου δ' ἀπάνευθεν ἑοῦ γενέταο μολόντος
ἀρτιθαλὴς Μίλητος ὁμόστολος ἵκετο Βάκχῳ
Καῦνον ἔχων συνάεθλον ἀδελφεόν, ὃς τότε Καρῶν
λαὸν ἄγων ἔτι κοῦρος ἐδύσατο φύλοπιν Ἰνδῶν·
οὔ πω γὰρ δυσέρωτα δολοπλόκον ἔπλεκε μολπὴν
γνωτῆς οἶστρον ἔχων ἀδαήμονος, οὐδὲ καὶ αὐτὴν
ἀντιτύπου φιλότητος ὁμοζήλων ἐπὶ λέκτρων
Ζηνὶ συναπτομένην ἐμελίζετο σύγγονον Ἥρην
Λάτμιον ἀμφὶ βόαυλον ἀκοιμήτοιο νομῆος,
ὀλβίζων ὑπ' ἔρωτι μεμηλότα γείτονι πέτρῃ
νυμφίον Ἐνδυμίωνα ποθοβλήτοιο Σελήνης·
ἀλλ' ἔτι Βυβλὶς ἔην φιλοπάρθενος, ἀλλ' ἔτι θήρην
Καῦνος ὁμογνήτων ἐδιδάσκετο νῆις ἐρώτων·
οὔ πω δ', ἁβροκόμοιο κασιγνήτοιο φυγόντος,
δάκρυσιν ὀμβρηθεῖσα δέμας μορφώσατο κούρη,
καὶ ῥόον ὑδατόεντα γοήμονος ἔβλυε πηγῆς.
τῷ δ' ἅμα θαρσήεντες ἐπερρώοντο μαχηταί,

---

541 ἀπήμονι *gk*; ἀπήμονα *LΩ*; ἀρήγονι *m*; ἀρείονι *m**. — πήχεος *Lf*Ω*; πύχεος *PFMf*. — ὁλκῷ *F*. — 542 ἀγκὰς *Lf*Ω*; ἀγγὰς *Ff*. — 543 ὀμβρήεντος *Lf*Ω*; ὀμβρύεντος *Ff*. — 544 Βρόμβιον *gk*; βρόνβιον *LΩ*; Ὄμβριον *m*. — 546] v. ad 392. — 549 ἔτι κοῦρος *Lf*Ω*; ἔτι κοῦρον *FMf*; 'cave ἐπίκουρον inde coniicias' *k**. — 550 ἔπλεκε μολπὴν Cun., *k*; ἔπλεκε μορφὴν *LΩ*; ἔπλεκε μομφὴν Scaliger; ἔπλεκεν ὀμφὴν *gm*; ἔπλεκε φωνὴν Koch[1] 177 (ex 20, 265, sed v. Lch[1] 56. 83). — 551 αὐτὴν *gmk*; αὐτῆς *LΩ*. — 554 νομῆος *L* (Naeke[1] 233 coll. 7, 239. 1, 332) *m*k*; σελήνης *PΩ*. — 556 et 557 om. it., add. im. *P*. — 557 Βυβλὶς *gmk* (Herodian. I 89, 18); βύβλις *LΩ*; βίβλις *Mfl*; βίβλοις *F*. — 562 fol. 57r *L*, 49r *P*. — ante h. vs. lacunam duorum versuum indica-

οἳ Μυκάλην ἐνέμοντο, καὶ οἳ λάχον ἀγκύλον ὕδωρ
εἰς χθόνα δυομένοιο παλιννόστου ποταμοῖο,
Μαιάνδρου σκολιοῖο, διερπύζοντος ἐναύλων.
τόσσαι μὲν στίχες ἦλθον· ὁμοζήλῳ δὲ πορείῃ
λαῶν ἀγρομένων Κυβεληίδες ἔκτυπον αὐλαί,
Μυγδονίης δὲ πόληος ἐκυκλώθησαν ἀγυιαί.

---

verunt *FMOVWfl*, neque defectus signa desunt in *gk* (v. *k**); nihil eiusmodi produnt *LPhm*. — 565 'an *σκολιοῖσι διερπύζοντος ἐναύλοις*?' *g**. — 566] v. ad 392. — 567 *ἀγρομένων LFf*Ω*; *ἀγρονόμων f*. — 568 *δὲ* Lehrs[1] 298, *k**; *τε LΩ*. — '*ἐπυκνώθησαν*?' *k**.